ἱ-εναι	ἱέναι (471)

Perfect of εἴδω:

εἰδ-εναι	εἰδέναι (468)

σθαι All others.

304. The infinitive was in its origin a case-form (dative or locative) of a verbal noun; its original force can be seen plainly in 305.1b.

305. The chief uses of the infinitive may be classified under the following heads:

(1) Without the article:

(a) With a finite verb:

As subject nominative: διαφέρει δὲ ἴσως οὐ μικρὸν ἐν κτήσει ἢ χρήσει τὸ ἄριστον ὑπολαμβάνειν, καὶ ἐν ἕξει ἢ ἐνεργείᾳ, *but it makes, perhaps, no small difference whether we place the chief good in possession or in use, in state of mind or in activity.* (Ross.)

As predicate nominative: τὸ γὰρ γνῶναι ἐπιστήμην λαβεῖν ἐστιν, *for to learn is to get knowledge.*

As appositive: εἷς οἰωνὸς ἄριστος, ἀμῦνεσθαι περὶ πάτρης, *one omen is best, to fight for our country.*

As object:

Not in indirect discourse (complementary or object infinitive in the narrower sense): βούλεται ἐλθεῖν, *he wishes to go.*

In indirect discourse: φησὶν ἐλθεῖν, *he says that he went.*

To express purpose: παρέχω ἐμαυτὸν ἐρωτᾶν, *I offer myself to be questioned.*

(b) With an adjective (the two following subclasses tend to merge):

As complementary or object infinitive, the adjective being related in meaning to a verb that would take a direct object: δεινὸς λέγειν, *clever at speaking.*

As limiting the meaning of the adjective: ἄξιος θαυμάσαι, *worthy to be admired.*

(c) Absolutely: ὡς ἔπος εἰπεῖν, *so to speak.*

(2) With the article:

As nominative, genitive, dative, or accusative in almost any construction possible to a noun.: ἄνευ τοῦ σωφρονεῖν, *without exercising self-control.*

The negative of the infinitive is μή except in indirect discourse, which retains the negative of the original verb. (But see 294.)

306. VOCABULARY

εἴτε . . . εἴτε (disjunctive conj.), *either . . . or, whether . . . or.*

ἐπι-σκοπέω (in Attic this usually replaces ἐπι-σκέπτομαι), ἐπισκέψομαι, ἐπεσκεψάμην, ἐπέσκεμμαι, *examine, consider*; ἐπισκεπτέος, ᾱ, ον (verbal adj.), *to be examined, to be considered* (311).

ἐφεξῆς [ἐπί + ἑξῆς *in order*] (adv.), *in order, one after another, adjacent, next*; τὸ ἐφεξῆς, *the adjacent part.*

κατ-ηγορέω, κατηγορήσω, κατηγόρησα, etc. (as though it were a compound vb.), *be an accuser* (κατήγορος) *of* (with gen.); *bring as a charge, indicate, predicate* (τί τινος).

κατηγορίᾱ, ᾱς, ἡ, *accusation, form of predication,* **category**.

κατηγορικός, ή, όν, *accusatory, affirmative*, **categorical**.

ὀρέγω, ὀρέξω, ὤρεξα, *reach, hand*; mid., *reach for, desire* (with gen.); ὀρεκτός, ή, όν (verbal adj.), *stretched out, desired* (310).

ὀρεκτικός, ή, όν, *desiderative*; ὀρεκτικόν, οῦ, τό, *the desiring element*.

σπουδαῖος, ᾱ, ον, *serious, good*.

συμπέρασμα, ατος, τό [συμπεραίνω *conclude*], *conclusion*.

σωφροσύνη, ης, ή, *soundness of mind, temperance*.

307. What is "Happiness"? (Cont.)

Φαίνεται δὲ καὶ ἐκ τῆς αὐταρκείᾱς[1] τὸ αὐτὸ συμβαίνειν· τὸ γὰρ τέλειον ἀγαθὸν αὔταρκες εἶναι δοκεῖ. τὸ δ' αὔταρκες λέγομεν οὐκ αὐτῷ μόνῳ[2], τῷ ζῶντι βίον μονώτην, ἀλλὰ καὶ γονεῦσι καὶ τέκνοις καὶ γυναικὶ καὶ ὅλως τοῖς φίλοις καὶ πολίταις, ἐπειδὴ φύσει πολῖτικὸν[3] ὁ ἄνθρωπος. τούτων δὲ ληπτέος ὅρος[4] τις· ἐπεκτείνοντι[5] γὰρ ἐπὶ τοὺς γονεῖς καὶ τοὺς ἀπογόνους καὶ τῶν φίλων τοὺς φίλους εἰς ἄπειρον πρόεισιν[6]. ἀλλὰ τοῦτο μὲν εἰσαῦθις ἐπισκεπτέον· τὸ δ' αὔταρκες τίθεμεν[7] ὃ μονούμενον αἱρετὸν ποιεῖ τὸν βίον καὶ μηδενὸς ἐνδεᾶ· τοιοῦτον δὲ τὴν εὐδαιμονίᾱν οἰόμεθα εἶναι· ἔτι δὲ πάντων αἱρετωτάτην μὴ συναριθμουμένην[8] — συναριθμουμένην δὲ δῆλον ὡς αἱρετωτέρᾱν μετὰ τοῦ ἐλαχίστου τῶν ἀγαθῶν· ὑπεροχὴ γὰρ ἀγαθῶν γίγνεται τὸ προστιθέμενον, ἀγαθῶν δὲ τὸ μεῖζον αἱρετώτερον ἀεί. τέλειον δή τι φαίνεται καὶ αὔταρκες ἡ εὐδαιμονίᾱ, τῶν πρᾱκτῶν οὖσα τέλος[9].

Ethica Nicomachea i. 1097b6-21.

308. (1) That substances come to be from some substratum, will appear on examination ("from something underlying, would become evident for one examining"). (2) We call temperance by this name as preserving practical wisdom. (3) Hence also it is work to be good. (4) We must consider also the other forms of predication. (5) In every syllogism one of the premises must be affirmative. (6) If the conclusion is universal, the premises also must be universal. (7). The sphere of fire is the outermost ("last") both on the common view and on ours ("whether as the most or as we"). (8) These [things] having been distinguished, we must discuss the sequel ("say the next thing"). (9) All men by nature desire to know (articular inf.). (10) The desiring element shares in a sense ("somehow") in a rational principle (λόγος).

1. *From the consideration of the self-sufficiency (of happiness).* 2. *For a man by himself* (this dat., as well as γονεῦσι etc., is dependent on a second αὔταρκες understood). 3. *A social being* (pred. nom.). 4. *Limit.* 5. Dat. of relation: *for one who extends the limit.* 6. Impers. 7. *Regard as.* 8. *And further we think it most desirable of all things, without being counted as one good thing among others —if it were so counted it would clearly be made more desirable by the addition of even the least of goods; for that which is added becomes an excess of goods, and of goods the greater is always more desirable.* (Ross.) 9. *The end.*

XLVI. VERBAL ADJECTIVES; WHAT IS "HAPPINESS"? (Cont.)

Ἃ γὰρ δεῖ μαθόντας ποιεῖν, ταῦτα ποιοῦντες μανθάνομεν.
Ἀριστοτέλης ἐν δευτέρῳ Νικομαχείων 1103a32-33.
For the things we have to learn before we can do them, we learn by doing them. (Ross.)

309. Verbal adjectives are formed by adding τός, τή, τόν or τέος, τέᾱ, τέον to the verb stem—generally to that form of the stem which occurs in the aorist passive:

παιδεύω	ἐπαιδεύθην		παιδευτέος
πέμπω	ἐπέμφθην	πεμπτός (356)	πεμπτέος
διώκω	ἐδιώχθην	διωκτός (356)	διωκτέος
φράζω (φραδ)	ἐφράσθην		φραστέος
ἀνύτω *accomplish*		ἀνυστός (357)	
ἄρχω	ἤρχθην	ἀρκτός (356)	ἀρκτέος
βάλλω	ἐβλήθην	βλητός	βλητέος
γράφω	ἐγράφην	γραπτός (356)	γραπτέος
θύω	ἐτύθην (367)		θυτέος
ἵστημι	ἐστάθην	στατός	στατέον
λέγω	ἐλέχθην	λεκτός (356)	λεκτέος
πείθω	ἐπείσθην		πειστέον
σέβω *revere*	ἐσέφθην	σεπτός (356)	
τῑμάω	ἐτῑμήθην		τῑμητέος

310. Verbal adjectives in -τός, -τή, -τόν denote either (1) capability (λεκτός *capable of being spoken*, Lat. *dīcibilis*) or (2) what has been done (γραπτός *written*, Lat. *scrīptus*). In either case the agent may be expressed by a dative of interest (327.2).

311. Verbal adjectives in -τέος. -τέᾱ, -τέον have two constructions:

(1) personal (passive in sense and expressing necessity): ἐπιστολὴ γραπτέᾱ *a letter that must be written*, Lat. **epistola** *scrībenda*.

(2) impersonal (active in sense and expressing necessity): ἐπιστολὴν ἡμῖν γραπτέον (or γραπτέᾳ) ἐστίν *we must write a letter.* (This corresponds syntactically to the rare Latin use of the gerund as a nominative: **epistolam** *nōbīs scrībendum est.*)

In either of these constructions the agent may be expressed by a dative of interest; in the impersonal construction by an accusative (as in ἐπιστολὴν ἡμᾶς δεῖ γράψαι).

312. VOCABULARY

ἀδιάβατος, ον [ἀ + διαβατός], *impassable.*

ἀκίνητος, ον [ἀ + κῑνητός], *immovable, unmoved.*

ἀμετακίνητος, ον, *immovable, nonportable.*

ἀρκτέον [ἄρχομαι], *one must begin.*

δέδοικα (δϝει, δϝοι; pf. as pres.), ἔδεισα *fear* (of reasonable fear; with acc., with inf., or with obj. clause introduced by μή or μὴ οὐ [228.2]).

δια-βαίνω, *step across, pass over*; διαβατός, ή, όν (verbal adj.), *crossable*; διαβατέος, ᾱ, ον (verbal adj.), *that must be crossed.*

διοριστέον (verbal adj. of διορίζω), *one must distinguish.*

ἐμ-βαίνω, *step in, step into* (with dat. or with εἰς and acc.).

ἐναργής, ές, *visible, palpable*; ἐναργῶς (adv.), *visibly, palpably.* Compar. ἐναργέστερος; superl. ἐναργέστατος.

μεταφορητός, ή, όν (verbal adj. of μεταφορέω, frequentative of μεταφέρω *carry across*), *portable.*

μόριον, ου, τό [dimin. of μόρος *portion*, μέρος], *part, member.*

ὁμολογέω, ὁμολογήσω, etc., *agree with* (with dat.), *agree to* (with acc.), *agree* (with inf. in indir. disc.).

ποθέω, ποθήσω, etc., *long for* (with acc.).

φυγάς, άδος, ὁ, ἡ [φεύγω], FUGITIVE, *exile.*

χαλεπαίνω (χαλεπαν: 477), χαλεπανῶ, ἐχαλέπηνα, ἐχαλεπάνθην as act.), *be angry at* (with dat.), *be annoyed.*

χαλεπός, ή, όν, *difficult, hard to deal with*; χαλεπῶς (adv.), *hardly, with difficulty*; χαλεπῶς φέρω, *be distressed at* (with dat. of cause).

χείρ, χειρός, ἡ [**chiro**graphy, **s**urgeon], *hand* (398).

313. What is "Happiness?" (Cont.)

Ἀλλ' ἴσως τὴν μὲν εὐδαιμονίᾱν τὸ ἄριστον λέγειν ὁμολογούμενόν τι φαίνεται, ποθεῖται δ' ἐναργέστερον[1] τί ἐστιν ἔτι λεχθῆναι. τάχα δὴ γένοιτ' ἂν τοῦτ', εἰ ληφθείη τὸ ἔργον τοῦ ἀνθρώπου. ὥσπερ γὰρ αὐλητῇ καὶ ἀγαλματοποιῷ καὶ παντὶ τεχνίτῃ, καὶ ὅλως ὧν[2] ἔστιν ἔργον τι καὶ πρᾶξις, ἐν τῷ ἔργῳ δοκεῖ τἀγαθὸν εἶναι καὶ τὸ εὖ, οὕτω δόξειεν ἂν καὶ ἀνθρώπῳ, εἴπερ ἔστι τι ἔργον αὐτοῦ. πότερον οὖν τέκτονος μὲν καὶ σκῡτέως ἔστιν ἔργα τινὰ καὶ πράξεις, ἀνθρώπου δ' οὐδέν ἐστιν, ἀλλ' ἀργὸν πέφῡκεν[3]; ἢ καθάπερ ὀφθαλμοῦ καὶ χειρὸς καὶ ποδὸς καὶ ὅλως ἑκάστου τῶν μορίων φαίνεταί τι ἔργον, οὕτω καὶ ἀνθρώπου παρὰ πάντα ταῦτα θείη τις ἂν ἔργον τι; τί οὖν δὴ τοῦτ' ἂν εἴη ποτέ; τὸ μὲν γὰρ ζῆν κοινὸν εἶναι φαίνεται καὶ τοῖς φυτοῖς, ζητεῖται δὲ τὸ ἴδιον.

Ethica Nicomachea i. 1097b22-34.

1. Adv. with λεχθῆναι. 2. Supply an antecedent in the dat. 3. Sc. ὁ ἄνθρωπος.

314. (1) After this the exiles came to a large and uncrossable river. (2) Just as the receptacle is portable place, so place (use generic article) is a nonportable receptacle. (3) Those who have done wrong fear that they may be punished. (4) We must begin with (ἀπό) things known. (5) When we do not perceive clearly, we are annoyed. (6) It is not yet evident how the movable and the immovable are to be distinguished. (7) We admitted that this could not pass over from one genus to another. (8) He advised that they must cross the river. (9) Who said that it was impossible to step twice into the same river? (10) Noble things are difficult.

XLVII. USES OF THE ACCUSATIVE; WHAT IS "HAPPINESS"? (Concl.)

Γνῶθι σαυτόν.
Θαλῆς.
Know thyself.

315. The accusative may be:

(1) Direct object of a verb, of an adjective, or of a noun: πάντες φυλάττονται τὰ εἰωθότα ἀδικήματα *all men guard against ordinary offences*; ἐδόκει τὰ πολιτικὰ συνετὸς εἶναι *he was thought to understand politics* (Dion. Hal. iv. 45); τὰ σπουδαῖα ποιητής *a writer of serious poetry* (Arist. 1448b34). Many verbs may take two direct objects: ἐμὲ τὰ ἐρωτικὰ ἐδίδαξεν *she taught me the art of love*; τί ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς; *what will the multitude say of us?*

(2) Internal object (cognate accusative) of a verb, of an adjective, or of a noun: βουλὴν βουλεύειν *to form a plan*; ἄδικος ἑκάστην ἀδικίᾳν *unjust with respect to each type of injustice*; δοῦλος τᾶς μεγίστας δουλείας *a slave to the direst slavery*.

(3) Accusative of specification with a verb, with an adjective, or with a noun: διαφέρει τὴν φύσιν *he differs in nature*; ἄπειροι τὸ πλῆθος *infinite in number*; Ἕλληνές εἰσι τὸ γένος *they are Greeks by race*.

(4) Adverbial: τέλος *finally*; ὀλίγον *a little*.

(5) Accusative of extent (in time or in space): ἕνα μῆνα μένων *remaining one month*; πόλις ἀπέχουσα ὀκτὼ ἡμερῶν ὁδόν *a city eight days' journey distant*.

(6) Predicate accusative: καλοῦσιν αὐτὸ κεφαλήν τινες *some call it a head*.

(7) Accusative absolute: δέον ὅλον τι θεωρῆσαι μέρος τι τυγχάνουσι λέγοντες ἑκάτεροι *whereas they ought to have viewed the subject as a whole, each group is in fact stating a part*. (Note that with impersonal verbs the accusative absolute is used instead of the genitive absolute.)

316. VOCABULARY

ἀνδριάς, άντος, ὁ [ἀνήρ], *statue*.
ἁπτικός, ή, όν [ἅπτομαι], *endowed with touch, tactile*.
αὔξησις, εως, ἡ [αὔξω], *growth, increase in size*, **auxesis**.
αὐξητικός, ή, όν, *growing, of growth, promoting growth*.
αὐξάνω or αὔξω (αὐξ, αὐξη: 478), αὐξήσω, ηὔξησα, ηὔξηκα, ηὔξημαι, ηὐξήθην, *increase* (usually trans.); αὐξητός, ή, όν (verbal adj.), *increasable, increased*.
ἀφ-ορίζω, *determine, limit, define, distinguish, exclude*; ἀφοριστέον (verbal adj.), *one must exclude*.
δεκτικός, ή, όν [δέχομαι], *receptive, capable of* (with object. gen.).
θεωρέω, θεωρήσω, *be a spectator* (θεωρός) *of, look, look at, contemplate, speculate* (*to* use *knowledge*).
θεωρητικός ή, όν, *contemplative, speculative*.
θεωρία, ᾶς, ἡ [**theory**], *viewing, contemplation, speculation, study*.
θρεπτικός, ή, όν [τρέφω], *nutritive, promoting growth*; θρεπτικόν, οῦ, τό, *nutritive faculty*.
συνετός, ή, όν (verbal adj. of συνίημι *understand*), *intelligent, intelligible*.
φροντιστής, οῦ, ὁ [φροντίζω *consider*], *thinker*.
χαλκός, οῦ, ὁ, *copper, bronze*.

317. What is "Happiness"? (Concl.)

Ἀφοριστέον ἄρα τὴν θρεπτικὴν καὶ αὐξητικὴν ζωήν. ἑπομένη δὲ αἰσθητική τις ἂν εἴη, φαίνεται δὲ καὶ αὐτὴ κοινὴ καὶ ἵππῳ καὶ βοῒ καὶ παντὶ ζῴῳ. λείπεται δὴ πρακτική τις τοῦ λόγον ἔχοντος· τούτου δὲ τὸ μὲν ὡς ἐπιπειθὲς λόγῳ, τὸ δ' ὡς ἔχον [1] καὶ διανοούμενον. διττῶς δὲ καὶ ταύτης λεγομένης τὴν κατ' ἐνέργειαν θετέον· κυριώτερον [2] γὰρ αὕτη [3] δοκεῖ λέγεσθαι [2]. εἰ δ' ἐστὶν ἔργον [4] ἀνθρώπου ψυχῆς ἐνέργεια κατὰ λόγον ἢ μὴ ἄνευ λόγου, τὸ δ' αὐτό φαμεν ἔργον εἶναι τῷ γένει [5] τοῦδε [6] καὶ τοῦδε σπουδαίου [7], ὥσπερ κιθαριστοῦ καὶ σπουδαίου κιθαριστοῦ, καὶ ἁπλῶς δὴ τοῦτ' ἐπὶ πάντων, προστιθεμένης τῆς κατὰ τὴν ἀρετὴν ὑπεροχῆς πρὸς τὸ ἔργον· κιθαριστοῦ μὲν γὰρ κιθαρίζειν, σπουδαίου δὲ τὸ εὖ. . . . εἰ δ' οὕτως, τὸ ἀνθρώπινον ἀγαθὸν ψυχῆς ἐνέργεια γίγνεται [8] κατ' ἀρετήν, εἰ δὲ πλείους αἱ ἀρεταί, κατὰ τὴν ἀρίστην καὶ τελειοτάτην, ἔτι δ' ἐν βίῳ τελείῳ.

Ethica Nicomachea i. 1097b34-1098a12, 1098a15-18.

318. (1) This is the function of the nutritive faculty. (2) A certain intelligent man was in the habit of calling that statue "the thinker". (3) That's the way the stars appear to us, looking at them from here ("the stars appear thus to us looking hence"). (4) Increase of size is a sort of (τὶς) addition. (5) The bronze has the form of the statue. (6) Matter is the substratum which is receptive of coming-to-be and passing-away. (7) The nutritive faculty is distinguished from (πρός and acc.) the other faculties by this function. (8) Everything that grows (ptc.) must take nourishment. (9) It is plain that (φαίνομαι and ptc.) all animals have the sense of touch. (10) Heat is conducive to growth.

---

1. Supply obj. λόγον. 2. *To be the more proper term.* 3. Sc. ἡ κατ' ἐνέργειαν. 4. *The function.* 5. Dat. of respect with αὐτό (328.1). 6. *A so-and-so.* 7. *A good so-and-so.* 8. *Turns out to be.*

XLVIII. USES OF THE GENITIVE; A TELEOLOGICAL APPROACH TO BIOLOGY

Σπεῦδε βραδέως.
Αὔγουστος.
Make haste slowly.

319. Genitives are particularly hard to classify. In so far as they are apparently true genitives or apparently ablatival genitives (18) they may be grouped as in 320 and 321. For the miscellaneous remainder see 322.

320. True genitives may be *attributive* (limiting the meaning of a noun or adjective) or *predicate* (following a verb but usually dependent upon a substantive notion):

	Attributive	Predicate
(1) Possessive:	ἡ τοῦ πατρὸς οἰκίᾱ *the father's house.*	ἡ οἰκίᾱ ἦν ποτε τοῦ πατρός *the house used to belong to the father* (56); τοῦ πολίτου ἐστὶ μάχεσθαι *it is the citizen's duty to fight.*
(2) Subjective:	ὁ τῶν πολεμίων φόβος *the enemy's fear.*	οἶμαι αὐτὸ (τὸ ῥῆμα) Περιάνδρου εἶναι *I think it (the saying) is Periander's.*
(3) Objective:	ὁ τῶν πολεμίων φόβος *the fear of the enemy* (felt by someone else); πρᾱκτικοὶ τῶν καλῶν *capable of noble acts.*	τοιαῦτ' ἄττα ἐστὶν ὧν ἡ ἐπιθῡμίᾱ ἐστίν *these are the sort of things that desire seeks.*
(4) Genitive of Material:	τὸ τῶν ἰχθύων γένος *the race of fishes.*	ἔρυμα λίθων πεποιημένον *a wall built of stones.*
(5) Genitive of Measure:	τριῶν ἡμερῶν ὁδός *a three days' journey*; τριᾱκοντα ταλάντων οὐσίᾱ *an estate of thirty talents.*	τὰ τείχη ἦν σταδίων ὀκτώ *the walls were eight stades long.*

	Attributive	Predicate
(6) Partitive:	αἱ πολλαὶ τῶν καλουμένων ἀριστοκρατιῶν *most of the so-called aristocracies.*	ἦν τῶν ἀριστοκρατιῶν *it was one of the aristocracies*; ὁδοῦ τυχεῖν *to find a road.* So also with verbs meaning *sharing, touching, making trial of, beginning, desiring, obtaining, perceiving, hearing, smelling, tasting, eating, drinking, caring for, neglecting, filling, being full of, ruling, leading.*

321. The chief ablatival genitives express

(1) Separation (18): λῦσόν με δεσμῶν *release me from chains*; τιμῆς ἄτῑμος πάσης *destitute of all honor.*
(2) Comparison: πονηρίᾱ θᾶττον θανάτου θεῖ *wickedness runs faster than death*; ἡττώμενοι τῶν φόβων *overcome by their fears.*
(3) Cause: ζηλῶ σε τοῦ νοῦ *I envy you for your mind.*
(4) Source: μάθε μου τάδε *learn this from me.*

322. Miscellaneous genitives:

(1) Genitive of price: πόσου διδάσκει; *how much does he charge for his lessons?* ἄξιος λόγου *worthy of mention.*
(2) Genitive of accountability: δώρων ἐκρίθησαν *they were tried for bribery*; ἑάλω κλοπῆς *he was convicted of theft.*
(3) Genitive with adverbs of place: χωρὶς τοῦ σώματος *apart from the body*; εἴσω τῆς σκηνῆς *inside the tent.*
(4) Genitive of time within which: δέκα ἡμερῶν οὐχ ἥξουσι *they will not come within ten days.*
(5) Genitive with prepositions and compound verbs (a great variety of uses, some of them corresponding wholly or in part to uses listed in 320-321): παρὰ σοῦ ἐμάθομεν *we learned from you*; ὅταν κατηγορῇ τις τῶν νῦν ὑπαρχόντων ἐν ταῖς πολῑτείαις κακῶν *when someone denounces the evils now existing in states.*
(6) Genitive absolute: ὄντος γε ψεύδους ἔστιν ἀπάτη *when there is falsehood, there is deceit.* (Note that the participle is circumstantial (172.2), and that it agrees with a noun which is not in the main construction.)

323. VOCABULARY

αἰνέω, αἰνέσω, ᾔνεσα, ᾔνεκα, ᾔνημαι, ᾐνέθην [αἶνος *tale, praise*], *praise*.
ἀριστοκρατίᾱ, ᾱς, ἡ [ἄριστος + κράτος], *rule of the best*, **aristocracy**.
δρᾶμα, ατος, τό, *deed, action*, **drama**.
δράω, δράσω, ἔδρᾱσα, δέδρᾱκα, δέδρᾱμαι, ἐδράσθην [**drastic**], *do*.
ἐλευθεριότης, ητος, ἡ, *liberality*.
ἐνεργέω, ἐνήργησα, ἐνήργηκα, ἐνηργήθην [**energetic**], *be* IN *action* (ἐνεργός), *effect*.
ἐπ-αινέω, *praise*.
καθ-εύδω (εὑδ, εὕδη), impf. ἐκάθευδον (70) and καθῆυδον, καθευδήσω, *sleep*.
κράτος, ους, τό [demo**crat**], *strength*.
κριτικός, ή, όν [κρίνω], *able to discern, critical* (with object. gen.).
μῑμέομαι, μῑμήσομαι, ἐμῑμησάμην, μεμίμημαι, ἐμῑμήθην, *imitate, represent*.
μίμημα, ατος, τό, *copy, likeness*.
μίμησις, εως, ἡ, *imitation, representation*.
μῑμητικός, ή, όν, *imitative*, **mimetic**.
μνήμη, ης, ἡ [**mnemonic**, MIND], *memory*, MENTION.
πίπτω (πι-πτ-ω, πετ, πεσ, πτω: 98.2), πεσοῦμαι, ἔπεσον, πέπτωκα, *fall*.
πορείᾱ, ᾱς, ἡ [ἄ-πορος], *gait, journey, progression*.
πορεύω, πορεύσω, etc. [FORD, FARE], *make to go*; pass. deponent, *go, walk about, journey*; πορευτέος, ᾱ, ον (verbal adj.), *to be traversed*.

324. A Teleological Approach to Biology

Περὶ πᾶσαν θεωρίᾱν τε καὶ μέθοδον, ὁμοίως ταπεινοτέρᾱν τε καὶ τῑμιωτέρᾱν, δύο φαίνονται τρόποι τῆς ἕξεως [1] εἶναι, ὧν τὴν μὲν ἐπιστήμην [2] τοῦ πράγματος καλῶς ἔχει προσαγορεύειν, τὴν δ' οἷον παιδείᾱν [2] τινά. πεπαιδευμένου γάρ ἐστι κατὰ τρόπον [3] τὸ δύνασθαι κρῖναι εὐστόχως τί καλῶς ἢ μὴ καλῶς ἀποδίδωσιν ὁ λέγων. τοιοῦτον γὰρ δή τινα καὶ τὸν ὅλως πεπαιδευμένον οἰόμεθ' εἶναι, καὶ τὸ πεπαιδεῦσθαι τὸ δύνασθαι ποιεῖν τὸ εἰρημένον [4]. πλὴν τοῦτον μὲν περὶ πάντων [5] ὡς εἰπεῖν κριτικόν τινα νομίζομεν εἶναι ἕνα τὸν ἀριθμὸν [6] ὄντα, τὸν δὲ περί τινος φύσεως [7] ἀφωρισμένης· εἴη γὰρ ἄν τις ἕτερος [8] τὸν αὐτὸν τρόπον τῷ εἰρημένῳ [9] διακείμενος περὶ μόριον.

De Partibus Animalium i. 639a1-11.

325. (1) In tragedies and all dramas they imitate [men] doing. (2) Man is the most imitative and the most discerning of all animals. (3) If there is (μέλλει) to be generation and destruction, there must be something else which is always acting. (4) Was he praised for (εἰς) liberality or for strength? (πότερον . . . ἤ.) (5) There are some who get up while sleeping and walk about. (6) Sense perception is of the present, but memory is of the past. (7) Touch is more discerning of forms than is taste. (8) If the journey is long, we say that the road is long. (9) Why does imitation give ("make") pleasure? (10) The leaves of some trees have fallen; the leaves of others haven't.

1. The *state* of a person with reference to a θεωρίᾱ; i.e. *proficiency*. 2. Pred. noun without art. 3. *Properly* (to be construed with πεπαιδευμένου). 4. Sc. κρῖναι εὐστόχως. 5. With κριτικόν. 6. ἕνα (with acc. of specif. τὸν ἀριθμόν) is pred. to circumstantial ptc. ὄντα. 7. *Subject*. 8. Sc. the specialist. 9. Sc. τῷ ὅλως πεπαιδευμένῳ.

XLIX. USES OF THE DATIVE; A TELEOLOGICAL APPROACH TO BIOLOGY (Cont.)

Θάλαττα, θάλαττα.
Ξενοφῶντος ἐν τῇ Κύρου Ἀναβάσει iv. 7. 24.
The sea, the sea!

326. Since the Greek datives have taken over most of the functions of the lost instrumentals and locatives (both of which in Latin became ablatives; see 18), they may be conveniently classified under the headings of Dative Proper, Instrumental Dative, and Locative Dative. For the miscellaneous remainder see 330.

327. The Dative Proper may denote

(1) Indirect Object: δίδομεν ταῦτα τοῖς ποιηταῖς *we grant this to the poets*; ἐπίστευον αὐτῷ *they trusted him*. ("The verbs of this class which are not translated with *to* in English are chiefly those signifying *to benefit, serve, obey, defend, assist, please, trust, satisfy, advise, exhort*, or any of their opposites; also those expressing *friendliness, hostility, blame, abuse, reproach, envy, anger, threats*."—Goodwin-Gulick, 1160.)

(2) Interest:
  (a) Advantage or Disadvantage: ἄλλο στράτευμα Κύρῳ συνελέγετο *another force was collected for Cyrus*; ἐμοὶ κακὸν βουλεύεις *you are plotting harm against me*; τί σοι μαθήσομαι; *what would you have me learn*? (In cases like this last, where the person referred to in the dative is represented as having a strong emotional interest, the dative is often called *ethical*.)
  (b) Relation: ἅπαντα τῷ φοβουμένῳ ψοφεῖ *everything sounds to one who is afraid*.
  (c) Possession: υἱὸς ἦν αὐτῷ *he had a son*.
  (d) Agent: πάνθ' ἡμῖν πεποίηται *everything has been done by us*.

328. The Instrumental Dative may be subdivided as follows:

(1) Instrumental Dative proper, denoting
  (a) Means or Instrument: λίθοις ἔβαλλον *they pelted (them) with stones*.

(b) Manner: τῷ ὄντι *in reality*; οὐ πολλαῖς ἡμέραις ὕστερον *not many days later* (when used thus with a comparative, this dative is often called dative of *degree of difference*); ὁ αὐτὸς τῷ γένει *the same in genus* (dative of *respect*).

(c) Cause: χαλεπῶς φέρω τοῖς παροῦσι πράγμασι *I am distressed at the present circumstances.*

(2) Dative of Accompaniment: μίαν ναῦν αὐτοῖς ἀνδράσιν εἷλον *they took one ship, men and all*; ἀμφισβητεῖ τισι *he is disputing with some people*; μάχομαι αὐτῷ *I am fighting with him.*

329. The Locative Dative may denote

(1) Place Where (in poetry; the ordinary prose construction is ἐν with the dative): ἀγρῷ *in the country.*

(2) Time When: τῇ τρίτῃ ἡμέρᾳ *on the third day.*

330. Miscellaneous Datives, including those with prepositions and compound verbs (a great variety of uses, some of them corresponding wholly or in part to uses listed in 327-329): πρὸς τούτοις *in addition to this*; δὶς τῷ αὐτῷ ποταμῷ οὐκ ἔστιν ἐμβῆναι *it is impossible to step in the same river twice*; τὸ ἀνθρώπῳ εἶναι *the being of a man*, i.e. the conception of a man (as opposed to his existence or manifestation).

331. VOCABULARY

ἀγνοέω, ἀγνοήσω, etc., *not* KNOW (with acc., with indir. question, with ptc., with ὅτι).

ἀΐδιος, ον [ἀεί], EVER*lasting, eternal.*

ἀμφισβητέω, impf. ἠμφεσβήτουν (69), ἀμφισβητήσω, ἠμφεσβήτησα [ἀμφίς *asunder* + βαίνω], *go asunder, disagree, dispute.*

αὐτόματος, η, ον (or ος, ον) [**automatic**], *spontaneous*; αὐτομάτως (adv.), *spontaneously.*

διανοητικός, ή, όν, *intellectual, intelligent*; διανοητικόν, οῦ, τό, *power of thinking.*

διάνοια, ᾶς, ἡ, *thought, process of thinking, thinking faculty.*

ἐν-δέχομαι, ἐνδέξομαι, *accept, admit of* (with inf. or acc.); *be possible* (with inf. or with acc. and inf.).

ἐντελέχεια, ᾶς, ἡ, *full reality*, the *actuality* resulting from ἐνέργεια *actualization*; ἐντελεχείᾳ (dat. of manner as adv.), *actually, ACTU, IN ACTU.*

συλ-λαμβάνω, *comprehend, seize, arrest.*

συλ-λέγω, συλλέξω, συνέλεξα, συνείλοχα, συνείλεγμαι, συνελέχθην or συνελέγην, *bring together, collect*; pass. deponent, *come together.*

σχεδόν [ἔχω] (adv.), *about, practically, roughly speaking.*

τοιόσδε, τοιάδε, τοιόνδε (dem. pronom. adj.), *such as this, such as follows, of such and such a kind.*

φθίσις, εως, ἡ [φθίνω], *waning, decrease,* **phthisis.**

φθιτός, ή, όν (verbal adj. of φθίνω), *capable of being decreased.*

332. A Teleological Approach to Biology (Cont.)

Ὥστε δῆλον ὅτι καὶ τῆς περὶ φύσιν ἱστορίας δεῖ τινας ὑπάρχειν ὅρους[1] τοιούτους[2] πρὸς οὓς ἀναφέρων ἀποδέξεται[3] τὸν τρόπον τῶν δεικνυμένων[4], χωρὶς τοῦ πῶς ἔχει τἀληθές[5], εἴτε οὕτως εἴτε ἄλλως. λέγω δ' οἷον πότερον δεῖ λαμβάνοντας μίαν ἑκάστην οὐσίαν[6] περὶ ταύτης διορίζειν καθ' αὑτήν, οἷον περὶ ἀνθρώπου φύσεως ἢ λέοντος ἢ βοὸς ἢ καί τινος ἄλλου καθ' ἕκαστον προχειριζομένους[7], ἢ τὰ κοινῇ συμβεβηκότα πᾶσι κατά τι κοινὸν[8] ὑποθεμένους[9]. πολλὰ γὰρ ὑπάρχει ταὐτὰ πολλοῖς γένεσιν ἑτέροις οὖσιν ἀλλήλων, οἷον ὕπνος, ἀναπνοή, αὔξησις, φθίσις, θάνατος, καὶ πρὸς τούτοις ὅσα τοιαῦτα τῶν λειπομένων παθῶν τε καὶ διαθέσεων· ἄδηλον γὰρ καὶ ἀδιόριστόν ἐστι[10] λέγειν νῦν περὶ τούτων.

De Partibus Animalium i. 639a12-23.

333. (1) There are in the natural order of things (πέφυκε), therefore, two causes, Thought and Character, of a man's actions. (2) Some existing things (partit. gen.) are eternal and divine, while others admit of both existence and non-existence (inf.). (3) Do you not know that they are still disputing about the name? (4) Aristotle thought (νομίζω) that some animals came into being spontaneously. (5) It is possible to think (διανοέομαι) either falsely or rightly. (6) Practically all these things have heat. (7) Those who have been cured come together often to talk about doctors. (8) Those who are intelligent think; those who aren't don't. (9) Those who had been arrested inside the city were all of the following sort. (10) The fulfilment of that which can be decreased is decrease.

---

1. *Standards, canons.* 2. τοιούτους does not refer to anything above, but is explained wholly by the following rel. clause of characteristic. 3. *By reference to which the hearer may take* (or *approve*). Since he will *take* them by reference to standards, he will in effect be *examining* them. 4. *Exposition.* 5. *How the truth stands.* 6. *Each species separately.* 7. *Taking in hand,* i.e. *discussing.* 8. *In virtue of something that they have in common.* 9. *Laying down to begin with.* 10. *It is a vague and uncertain business.*

L. A TELEOLOGICAL APPROACH TO BIOLOGY (Concl.)

334. VOCABULARY

ἁρμονίᾱ, ᾱς, ἡ, *music, scale*, **harmony**.
ἀσθενέω, ἠσθένησα, ἠσθένηκα, *be weak* (ἀσθενής, from ἀ + σθένος), *be sickly*.
ἔαρ, ἔαρος, τό, *spring*, Lat. VER (392).
θεραπεύω, θεραπεύσω, etc., *serve, tend, treat medically*.
μέλος, ους, τό, *limb, song, lyric poem, tune*, **mel***ody*.
μουσικός, ή, όν, **musical**, *scholarly*; μουσική (sc. τέχνη), **music**, *letters*.
νοσέω, νοσήσω, ἐνόσησα, νενόσηκα [νόσος], *be sick* (in body or mind).
νόσος, ου, ἡ, *sickness* (of body or mind).
πυ-ν-θ-άν-ο-μαι (πευθ, πυθ: 478), πεύσομαι, ἐπυθόμην, πέπυσμαι, *learn by hearsay, learn by inquiry, inquire* (with gen. and ptc. [of physical perception], or acc. and ptc. [of intellectual perception], or acc. and inf. in indir. disc., or ὅτι, or indir. question).
ῥυθμός, οῦ, ὁ, **rhythm**.
σθένος, ους, τό, *strength, force*.
ὑπερβολή, ῆς, ἡ [ὑπέρ + βάλλω], a *throwing beyond, excess*, **hyperbole**.
φθαρτός, ή, όν (verbal adj. of φθείρω), *destructible, perishable*.
φυτικός, ή, όν [φυτόν], *of plants*; φυτικόν, οῦ, τό, *vegetative principle*.
χελῑδών, όνος, ἡ (epicene), *swallow*.
χρεών (indecl.), τό, *necessity*; χρεών (ἐστί) = χρή.

335. A Teleological Approach to Biology (Concl.)

Φανερὸν δ' ὅτι καὶ κατὰ μέρος μὲν λέγοντες περὶ πολλῶν ἐροῦμεν πολλάκις ταὐτά· καὶ γὰρ ἵπποις καὶ κυσὶ καὶ ἀνθρώποις ὑπάρχει τῶν εἰρημένων ἕκαστον, ὥστε ἐὰν καθ' ἕκαστον τὰ συμβεβηκότα λέγῃ τις, πολλάκις ἀναγκασθήσεται περὶ τῶν αὐτῶν λέγειν, ὅσα ταὐτὰ μὲν ὑπάρχει τοῖς εἴδει διαφέρουσι τῶν ζῴων, αὐτὰ δὲ μηδεμίαν ἔχει διαφορᾶν. ἕτερα δ' ἴσως ἐστὶν οἷς συμβαίνει τὴν μὲν κατηγορίᾱν ἔχειν[1] τὴν αὐτὴν διαφέρειν δὲ τῇ κατ' εἶδος[2] διαφορᾷ, οἷον ἡ τῶν ζῴων πορείᾱ· οὐ γὰρ φαίνεται μία τῷ εἴδει[2]· διαφέρει γὰρ πτῆσις καὶ νεῦσις καὶ βάδισις καὶ ἕρψις.

Διὸ δεῖ μὴ διαλεληθέναι πῶς ἐπισκεπτέον, λέγω δὲ πότερον κοινῇ κατὰ γένος πρῶτον, εἶτα ὕστερον περὶ τῶν ἰδίων θεωρητέον, ἢ καθ' ἕκαστον[3] εὐθύς. νῦν γὰρ οὐ διώρισται περὶ αὐτοῦ[4], οὐδέ γε τὸ νῦν ῥηθησόμενον[5], οἷον πότερον καθάπερ οἱ μαθηματικοὶ τὰ περὶ τὴν ἀστρολογίᾱν δεικνύουσιν, οὕτω δεῖ καὶ τὸν φυσικὸν τὰ φαινόμενα πρῶτον τὰ περὶ τὰ ζῷα θεωρήσαντα καὶ τὰ

1. "*Come under*". 2. *Species*. 3. i.e. the ultimate species (not the individual animals). 4. The problem posed in the preceding sentence. 5. Subj. of a personal διώρισται which must be supplied.

μέρη τὰ περὶ ἕκαστον, ἔπειθ' οὕτω[1] λέγειν τὸ διὰ τί καὶ τᾶς αἰτίᾱς, ἢ ἄλλως πως. πρὸς δὲ τούτοις, ἐπεὶ πλείους ὁρῶμεν αἰτίᾱς περὶ τὴν γένεσιν τὴν φυσικήν, οἷον τήν θ' οὗ ἕνεκα[2] καὶ τὴν ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως[3], διοριστέον καὶ περὶ τούτων, ποίᾱ πρώτη καὶ δευτέρᾱ πέφῡκεν. φαίνεται δὲ πρώτη ἣν λέγομεν ἕνεκά τινος· λόγος[4] γὰρ οὗτος, ἀρχὴ δ' ὁ λόγος[4] ὁμοίως ἔν τε τοῖς κατὰ τέχνην καὶ ἐν τοῖς φύσει συνεστηκόσιν. ἢ γὰρ τῇ διανοίᾳ ἢ τῇ αἰσθήσει ὁρισάμενος ὁ μὲν ἰᾶτρὸς τὴν ὑγίειαν, ὁ δ' οἰκοδόμος τὴν οἰκίᾱν, ἀποδιδόᾱσι τοὺς λόγους καὶ τᾶς αἰτίᾱς οὗ ποιοῦσιν ἑκάστου[5], καὶ διότι ποιητέον οὕτως. μᾶλλον δ' ἐστὶ τὸ οὗ ἕνεκα καὶ τὸ καλὸν ἐν τοῖς τῆς φύσεως ἔργοις ἢ ἐν τοῖς τῆς τέχνης. τὸ δ' ἐξ ἀνάγκης[6] οὐ πᾶσιν ὑπάρχει τοῖς κατὰ φύσιν ὁμοίως, εἰς ὃ πειρῶνται πάντες σχεδὸν τοὺς λόγους ἀνάγειν, οὐ διελόμενοι ποσαχῶς λέγεται τὸ ἀναγκαῖον. ὑπάρχει δὲ τὸ μὲν ἁπλῶς[7] τοῖς ἀιδίοις, τὸ δ' ἐξ ὑποθέσεως[8] καὶ τοῖς ἐν γενέσει πᾶσιν ὥσπερ ἐν τοῖς τεχναστοῖς, οἷον οἰκίᾳ καὶ τῶν ἄλλων ὁτῳοῦν τῶν τοιούτων. ἀνάγκη δὲ τοιᾶνδε τὴν ὕλην ὑπάρξαι, εἰ ἔσται οἰκίᾱ ἢ ἄλλο τι τέλος· καὶ γενέσθαι τε καὶ κινηθῆναι δεῖ τόδε πρῶτον, εἶτα τόδε, καὶ τοῦτον δὴ τὸν τρόπον ἐφεξῆς μέχρι τοῦ τέλους καὶ οὗ[9] ἕνεκα γίγνεται ἕκαστον καὶ ἔστιν. ὡσαύτως δὲ καὶ ἐν τοῖς φύσει γιγνομένοις. ἀλλ' ὁ τρόπος τῆς ἀποδείξεως καὶ τῆς ἀνάγκης ἕτερος ἐπί τε τῆς φυσικῆς καὶ τῶν θεωρητικῶν ἐπιστημῶν. (εἴρηται δ' ἐν ἑτέροις[10] περὶ τούτων.) ἡ γὰρ ἀρχὴ τοῖς μὲν[11] τὸ ὄν, τοῖς δὲ[12] τὸ ἐσόμενον· ἐπεὶ γὰρ τοιόνδ' ἐστὶν ἡ ὑγίεια ἢ ὁ ἄνθρωπος, ἀνάγκη τόδ' εἶναι ἢ γενέσθαι, ἀλλ' οὐκ ἐπεὶ τόδ' ἐστὶν ἢ γέγονεν, ἐκεῖνο ἐξ ἀνάγκης ἐστὶν ἢ ἔσται. οὐδ' ἔστιν εἰς ἀΐδιον συναρτῆσαι τῆς τοιαύτης ἀποδείξεως τὴν ἀνάγκην[13], ὥστε εἰπεῖν, ἐπεὶ τόδ' ἐστίν, ὅτι τόδ' ἐστίν. διώρισται δὲ καὶ περὶ τούτων ἐν ἑτέροις[14], καὶ ποίοις ὑπάρχει[15] καὶ ποῖα ἀντιστρέφει[16] καὶ διὰ τίν' αἰτίᾱν.

1. οὕτω is almost redundant; in effect it repeats the θεωρήσαντα clause. 2. i.e. the final cause. 3. i.e. the efficient cause. 4. *Rational ground*. 5. *Of each thing that they do* (186). 6. *The influence of necessity*. 7. Sc. ἀναγκαῖον. 8. Sc. ἀναγκαῖον *hypothetical necessity*; the following καί is not to be translated; it merely contrasts τοῖς ἐν τῇ γενέσει πᾶσιν with τοῖς ἀιδίοις. 9. Supply an antecedent (in gen. sing.) dependent on μέχρι. 10. Sc. ἐν τοῖς Μετὰ τὰ Φυσικά. 11. *The latter*. 12. *The former*. 13. *To trace back the links of Necessity*. (Peck.) 14. Sc. ἐν τοῖς Περὶ Γενέσεως καὶ Φθορᾶς. 15. Supply as subj. τὸ ἁπλῶς ἀναγκαῖον καὶ τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον. Eternal things *are* of necessity (*De Gen. et Corr.* ii. 335a33-34). In the world of perishable things it is not the individual but the species that has eternity—in some such series of transformations as that of water into air, air into fire, fire into water (*ibid.* 337a4-6); in such a series "the coming-to-be of any determinate 'this' amongst the later members of the sequence will not be *absolutely*, but only *conditionally*, necessary. For it will always be necessary that some other member shall have come-to-be before 'this' as the presupposed condition of the necessity that 'this' should come-to-be." (*Ibid.* 337b25-28; tr. Joachim.) 16. *Which propositions involving Necessity are convertible*. "By this I mean that the necessary occurrence of 'this' involves the necessary occurrence of its antecedent: and conversely that, given the antecedent, it is also necessary

Δεῖ δὲ μὴ λεληθέναι καὶ πότερον προσήκει λέγειν, ὥσπερ οἱ πρότερον ἐποιοῦντο τὴν θεωρίαν, πῶς ἕκαστον γίγνεσθαι πέφυκε μᾶλλον ἢ πῶς ἔστιν. οὐ γάρ τι μικρὸν διαφέρει τοῦτο ἐκείνου. ἔοικε δ' ἐντεῦθεν ἀρκτέον εἶναι (καθάπερ καὶ πρότερον εἴπομεν ὅτι πρῶτον τὰ φαινόμενα ληπτέον περὶ ἕκαστον γένος, εἶθ' οὕτω τὰς αἰτίας τούτων λεκτέον) καὶ περὶ γενέσεως [1]· μᾶλλον γὰρ τάδε [2] συμβαίνει καὶ περὶ τὴν οἰκοδόμησιν ἐπεὶ τοιόνδ' ἐστὶ τὸ εἶδος [3] τῆς οἰκίας, ἢ [4] τοιόνδ' ἐστὶν ἡ οἰκία ὅτι γίγνεται οὕτως. ἡ γὰρ γένεσις ἕνεκα τῆς οὐσίας [5] ἐστίν, ἀλλ' οὐχ ἡ οὐσία [5] ἕνεκα τῆς γενέσεως. διόπερ Ἐμπεδοκλῆς οὐκ ὀρθῶς εἴρηκε λέγων ὑπάρχειν πολλὰ τοῖς ζῴοις διὰ τὸ συμβῆναι οὕτως ἐν τῇ γενέσει, οἷον καὶ τὴν ῥάχιν τοιαύτην [6] ἔχειν [7], ὅτι στραφέντος [8] καταχθῆναι [9] συνέβη, ἀγνοῶν πρῶτον μὲν ὅτι δεῖ τὸ σπέρμα τὸ συνιστὰν [10] ὑπάρχειν τοιαύτην ἔχον δύναμιν, εἶτα ὅτι τὸ ποιῆσαν [11] πρότερον ὑπῆρχεν οὐ μόνον τῷ λόγῳ ἀλλὰ καὶ τῷ χρόνῳ· γεννᾷ γὰρ ὁ ἄνθρωπος ἄνθρωπον, ὥστε διὰ τὸ ἐκεῖνον τοιόνδ' εἶναι ἡ γένεσις τοιάδε συμβαίνει τῷδί [12]. ὁμοίως δὲ καὶ ἐπὶ τῶν αὐτομάτως δοκούντων γίγνεσθαι καθάπερ καὶ ἐπὶ τῶν τεχναστῶν· ἔνια γὰρ καὶ ἀπὸ ταὐτομάτου γίγνεται ταὐτὰ τοῖς ἀπὸ τέχνης, οἷον ὑγίεια. τῶν μὲν οὖν προϋπάρχει τὸ ποιητικὸν [13] ὅμοιον, οἷον ἀνδριαντοποιητική· οὐ γὰρ γίγνεται [14] αὐτόματον. ἡ δὲ τέχνη λόγος [15] τοῦ ἔργου ὁ ἄνευ τῆς ὕλης ἐστίν. καὶ τοῖς ἀπὸ τύχης ὁμοίως· ὡς γὰρ ἡ τέχνη ἔχει, οὕτω γίγνεται [16]. διὸ μάλιστα μὲν λεκτέον ὡς ἐπειδὴ τοῦτ' ἦν [17] τὸ ἀνθρώπῳ εἶναι [18], διὰ τοῦτο ταῦτ' [19] ἔχει· οὐ γὰρ ἐνδέχεται εἶναι ἄνευ τῶν μορίων τούτων. εἰ δὲ μή, ὅ τι ἐγγύτατα τούτου, καὶ [20] ἢ ὅτι ὅλως ἀδύνατον ἄλλως, ἢ καλῶς γε οὕτως. ταῦτα [21] δ' ἕπεται. ἐπεὶ δ' ἐστὶ [22] τοιοῦτον [23], τὴν γένεσιν ὧδὶ καὶ τοιαύτην συμβαίνειν ἀναγκαῖον. διὸ γίγνεται πρῶτον τῶν μορίων τόδε, εἶτα τόδε. καὶ τοῦτον δὴ τὸν τρόπον ὁμοίως ἐπὶ πάντων τῶν φύσει συνισταμένων.

De Partibus Animalium i. 639a23-640b4.

for the consequent to come-to-be. And this reciprocal *nexus* will hold continuously throughout the sequence: for it makes no difference whether the reciprocal *nexus*, of which we are speaking, is mediated by two, or by many, members." (*De Gen. et Corr.* ii. 338a11-14; tr. Joachim.) 1. *In the case also of coming-to-be* (as well as in the case of astronomy). 2. *The particulars*, i.e. the particular stages in the process. 3. *Form*, i.e. the formal cause. 4. *Than*; the contrast is between τάδε . . . οἰκίας and τοιόνδ' . . . οὕτως. 5. *The actual thing*. 6. i.e. divided into vertebrae. 7. Supply as subj. τὰ ζῷα. 8. Supply τοῦ ἐμβρύου (*the foetus*): gen. abs. expressing cause. 9. Aor. pass. inf. of κατάγνυμι *break in pieces*. 10. *Forming*; supply as obj. τὸ ζῷον. 11. *The parent animal*. 12. Dat. of ὁδί. 13. *Efficient cause*. 14. Supply as subj. *the thing that is made*, i.e. ἀνδριάς. 15. *Conception*. 16. Supply as subj. τὰ ἀπὸ τύχης. *For as is the art, so do the chance things come to be*; i.e. the products of chance are formed in the same way as the products of art. 17. "Philosophic imperfect", denoting a truth only now recognized, although it was true before. 18. *The being of a man*, i.e. the conception of a man (as opposed to his existence or manifestation). 19. *Such and such parts* (μόρια). 20. *And if one cannot say that, then one must say the next thing to it, namely*. 21. *These parts*. 22. Supply as subj. ὁ ἄνθρωπος. 23. = τοιοῦτο.

336. (1) One swallow does not make a spring. (2) We inquired whether there were imitations of character both in tunes and in rhythms. (3) One ought always to give good tendance to the sick. (4) Who pointed out that harmony was a composition of contraries? (5) They neither tended the weak nor cured the ill. (6) Physicians know that in every disease there is either excess or deficiency. (7) The pleasure given by music is natural ("music has the pleasure natural"). (8) By "vegetative principle" the philosopher meant that which caused nutrition and growth (" 'vegetative principle' the philosopher said that which was responsible for being nourished and for growing"). (9) Nothing is by accident perishable. (10) Great is the force of necessity.

LI. THE CATEGORIES

337. The Categories: Substance, Quantity, Quality, Relation, Place, Date, Posture, Possession *or* State, Action, Passivity

Τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον ἤτοι οὐσίᾱν σημαίνει ἢ ποσὸν ἢ ποιὸν ἢ πρός τι ἢ πού ἢ ποτὲ ἢ κεῖσθαι ἢ ἔχειν ἢ ποιεῖν ἢ πάσχειν. ἔστι δὲ οὐσίᾱ μὲν ὡς τύπῳ εἰπεῖν οἷον ἄνθρωπος, ἵππος· ποσὸν δὲ οἷον δίπηχυ, τρίπηχυ· ποιὸν δὲ οἷον λευκόν, γραμματικόν· πρός τι δὲ οἷον διπλάσιον, ἥμισυ, μεῖζον· πού δὲ οἷον ἐν Λυκείῳ, ἐν ἀγορᾷ· ποτὲ δὲ οἷον ἐχθές, πέρυσιν· κεῖσθαι δὲ οἷον ἀνάκειται, κάθηται· ἔχειν δὲ οἷον ὑποδέδεται, ὥπλισται· ποιεῖν δὲ οἷον τέμνει, καίει· πάσχειν δὲ οἷον τέμνεται, καίεται. ἕκαστον δὲ τῶν εἰρημένων αὐτὸ μὲν καθ' αὑτὸ ἐν οὐδεμιᾷ καταφάσει λέγεται, τῇ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ [1] κατάφασις ἢ ἀπόφασις γίγνεται. ἅπᾶσα γὰρ δοκεῖ κατάφασις καὶ ἀπόφασις ἤτοι ἀληθὴς ἢ ψευδὴς εἶναι· τῶν δὲ κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων οὐδὲν οὔτε ἀληθὲς οὔτε ψεῦδός ἐστιν, οἷον ἄνθρωπος, λευκόν, τρέχει, νῖκᾷ.

Οὐσίᾱ δέ ἐστιν ἡ κῡριώτατά τε καὶ πρώτως καὶ μάλιστα λεγομένη ἣ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται μήτ' ἐν ὑποκειμένῳ τινί ἐστιν, οἷον ὁ τὶς ἄνθρωπος [2] ἢ ὁ τὶς ἵππος. δεύτεραι δὲ οὐσίαι λέγονται ἐν οἷς εἴδεσιν [3] αἱ πρώτως οὐσίαι λεγόμεναι ὑπάρχουσι, ταῦτά τε καὶ τὰ τῶν εἰδῶν τούτων γένη, οἷον ὁ τὶς ἄνθρωπος ἐν εἴδει μὲν ὑπάρχει τῷ ἀνθρώπῳ, γένος δὲ τοῦ εἴδους ἐστὶ τὸ ζῷον· δεύτεραι [4] οὖν αὗται λέγονται οὐσίαι, οἷον ὅ τε ἄνθρωπος καὶ τὸ ζῷον.

Categoriae 4-5. 1b25-2a19.

1. Dat. of means. 2. *The individual man.* 3. ἐν οἷς εἴδεσιν = τὰ εἴδη ἐν οἷς. 4. Attributive with οὐσίαι.

LII. THE PREDICABLES

338. The Predicables: Definition, Property, Genus (including Differentia), Accident

Ἀνάγκη γὰρ πᾶν τὸ περί τινος κατηγορούμενον ἤτοι ἀντικατηγορεῖσθαι τοῦ πρᾶγματος ἢ μή. καὶ εἰ μὲν ἀντικατηγορεῖται, ὅρος ἢ ἴδιον ἂν εἴη· εἰ μὲν γὰρ σημαίνει τὸ τί ἦν εἶναι, ὅρος, εἰ δὲ μὴ σημαίνει, ἴδιον· τοῦτο γὰρ ἦν ἴδιον, τὸ ἀντικατηγορούμενον μὲν μὴ σημαῖνον δὲ τὸ τί ἦν εἶναι. εἰ δὲ μὴ ἀντικατηγορεῖται τοῦ πρᾶγματος, ἤτοι τῶν ἐν τῷ ὁρισμῷ τοῦ ὑποκειμένου λεγομένων [1] ἐστὶν ἢ οὔ. καὶ εἰ μὲν τῶν ἐν τῷ ὁρισμῷ λεγομένων, γένος ἢ διαφορᾶ ἂν εἴη, ἐπειδὴ ὁ ὁρισμὸς ἐκ γένους καὶ διαφορῶν ἐστιν· εἰ δὲ μὴ τῶν ἐν τῷ ὁρισμῷ λεγομένων ἐστί, δῆλον ὅτι συμβεβηκὸς ἂν εἴη· τὸ γὰρ συμβεβηκὸς ἐλέγετο [2] ὃ μήτε ὅρος μήτε γένος μήτε ἴδιόν ἐστιν, ὑπάρχει δὲ τῷ πρᾶγματι.

Μετὰ τοίνυν ταῦτα δεῖ διορίσασθαι τὰ γένη τῶν κατηγοριῶν, ἐν οἷς ὑπάρχουσιν αἱ ῥηθεῖσαι τέτταρες. ἔστι δὲ ταῦτα τὸν ἀριθμὸν δέκα, τί ἐστι, ποσόν, ποιόν, πρός τι, πού, ποτέ, κεῖσθαι, ἔχειν, ποιεῖν, πάσχειν. ἀεὶ γὰρ τὸ συμβεβηκὸς καὶ τὸ γένος καὶ τὸ ἴδιον καὶ ὁ ὁρισμὸς ἐν μιᾷ τούτων τῶν κατηγοριῶν ἔσται· πᾶσαι γὰρ αἱ διὰ τούτων προτάσεις [3] ἢ τί ἐστιν ἢ ποιὸν ἢ ποσὸν ἢ τῶν ἄλλων τινα κατηγοριῶν σημαίνουσιν. δῆλον δ' ἐξ αὐτῶν ὅτι ὁ τὸ τί ἐστι σημαίνων ὁτὲ μὲν οὐσίᾱν σημαίνει, ὁτὲ δὲ ποιόν, ὁτὲ δὲ τῶν ἄλλων τινὰ κατηγοριῶν. ὅταν μὲν γὰρ ἐκκειμένου ἀνθρώπου φῇ τὸ ἐκκείμενον ἄνθρωπον εἶναι ἢ ζῷον, τί ἐστι λέγει καὶ οὐσίᾱν σημαίνει· ὅταν δὲ χρώματος λευκοῦ ἐκκειμένου φῇ τὸ ἐκκείμενον λευκὸν εἶναι ἢ χρῶμα, τί ἐστι λέγει καὶ ποιὸν σημαίνει. ὁμοίως δὲ καὶ ἐᾶν πηχυαίου μεγέθους ἐκκειμένου φῇ τὸ ἐκκείμενον πηχυαῖον εἶναι μέγεθος, τί ἐστιν ἐρεῖ καὶ ποσὸν σημαίνει. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Topica i. 103b7-35.

1. *Terms.* 2. *Was used to mean.* 3. *Propositions formed.*

LIII. THE CAUSES

339. The Causes: Material, Formal, Efficient, Final

Αἴτιον λέγεται ἕνα μὲν τρόπον ἐξ οὗ γίγνεταί τι ἐνυπάρχοντος, οἷον ὁ χαλκὸς τοῦ ἀνδριάντος καὶ ὁ ἄργυρος τῆς φιάλης καὶ τὰ τούτων γένη· ἄλλον[1] δὲ τὸ εἶδος καὶ τὸ παράδειγμα, τοῦτο δ' ἐστὶν ὁ λόγος[2] τοῦ τί ἦν εἶναι καὶ τὰ τούτου γένη (οἷον τοῦ διὰ πᾶσῶν[3] τὰ δύο πρὸς ἓν καὶ ὅλως ὁ ἀριθμός) καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ[2]. ἔτι ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἡ πρώτη ἢ τῆς ἠρεμήσεως, οἷον ὁ βουλεύσᾶς αἴτιος, καὶ ὁ πατὴρ τοῦ τέκνου, καὶ ὅλως τὸ ποιοῦν τοῦ ποιουμένου καὶ τὸ μεταβλητικὸν τοῦ μεταβάλλοντος. ἔτι ὡς τὸ τέλος· τοῦτο δ' ἐστὶ τὸ οὗ ἕνεκα, οἷον τοῦ περιπατεῖν ἡ ὑγίεια. διὰ τί γὰρ περιπατεῖ; φαμέν, ἵνα ὑγιαίνῃ. καὶ εἰπόντες οὕτως οἰόμεθα ἀποδεδωκέναι τὸ αἴτιον.

Metaphysica Δ. 1013a24-35.

1. Supply τρόπον. 2. *Definition.* 3. *Octave.*

LIV. CHANCE AND SPONTANEITY

340. Chance and spontaneity are not causes, but are names by which we try to explain incidental results; every incidental result has, either in reason or in nature, an efficient cause.

Λέγεται δὲ καὶ ἡ τύχη καὶ τὸ αὐτόματον τῶν αἰτίων[1], καὶ πολλὰ καὶ εἶναι καὶ γίγνεσθαι διὰ τύχην καὶ διὰ τὸ αὐτόματον· τίνα οὖν τρόπον ἐν τούτοις ἐστὶ τοῖς αἰτίοις ἡ τύχη καὶ τὸ αὐτόματον, καὶ πότερον τὸ αὐτὸ ἡ τύχη καὶ τὸ αὐτόματον ἢ ἕτερον, καὶ ὅλως τί ἐστιν ἡ τύχη καὶ τὸ αὐτόματον, ἐπισκεπτέον.

Πρῶτον μὲν οὖν, ἐπειδὴ ὁρῶμεν τὰ μὲν ἀεὶ ὡσαύτως γιγνόμενα τὰ δὲ ὡς ἐπὶ τὸ πολύ, φανερὸν ὅτι οὐδετέρου τούτων αἰτίᾶ ἡ τύχη λέγεται οὐδὲ τὸ ἀπὸ τύχης[2], οὔτε τοῦ ἐξ ἀνάγκης καὶ ἀεὶ οὔτε τοῦ ὡς ἐπὶ τὸ πολύ. ἀλλ' ἐπειδὴ ἔστιν ἃ γίγνεται καὶ παρὰ ταῦτα, καὶ ταῦτα πάντες φᾶσὶν εἶναι ἀπὸ τύχης, φανερὸν ὅτι ἔστι τι ἡ τύχη καὶ τὸ αὐτόματον· τά τε γὰρ τοιαῦτα ἀπὸ τύχης καὶ τὰ ἀπὸ τύχης τοιαῦτα ὄντα ἴσμεν. τῶν δὲ γιγνομένων τὰ μὲν ἕνεκά του γίγνεται τὰ δ' οὔ (τούτων[3] δὲ τὰ μὲν κατὰ προαίρεσιν, τὰ δ' οὐ κατὰ προαίρεσιν, ἄμφω δ' ἐν τοῖς ἕνεκά του), ὥστε δῆλον ὅτι καὶ ἐν τοῖς παρὰ[4] τὸ ἀναγκαῖον καὶ τὸ ὡς ἐπὶ τὸ πολὺ ἔστιν ἔνια περὶ ἃ ἐνδέχεται ὑπάρχειν τὸ ἕνεκά του[5]. (ἔστι δ' ἕνεκά του ὅσα τε ἀπὸ διανοίᾶς ἂν πρᾶχθείη καὶ ὅσα ἀπὸ φύσεως.) τὰ δὴ τοιαῦτα ὅταν κατὰ συμβεβηκὸς γένηται, ἀπὸ τύχης φαμὲν εἶναι (ὥσπερ γὰρ καὶ ὄν[6] ἐστι τὸ μὲν καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός, οὕτω καὶ αἴτιον ἐνδέχεται εἶναι, οἷον οἰκίᾶς καθ' αὑτὸ μὲν αἴτιον τὸ οἰκοδομικόν, κατὰ συμβεβηκὸς δὲ τὸ λευκὸν ἢ τὸ μουσικόν· τὸ μὲν οὖν καθ' αὑτὸ αἴτιον ὡρισμένον, τὸ δὲ κατὰ συμβεβηκὸς ἀόριστον· ἄπειρα γὰρ ἂν τῷ ἑνὶ συμβαίη). καθάπερ οὖν ἐλέχθη, ὅταν ἐν τοῖς ἕνεκά του γιγνομένοις τοῦτο γένηται, τότε λέγεται ἀπὸ ταὐτομάτου καὶ ἀπὸ τύχης (αὐτῶν δὲ πρὸς ἄλληλα τὴν διαφορᾶν τούτων ὕστερον διοριστέον· νῦν δὲ τοῦτο ἔστω φανερόν, ὅτι ἄμφω ἐν τοῖς ἕνεκά τού ἐστιν)· οἷον ἕνεκα τοῦ ἀπολαβεῖν τὸ ἀργύριον ἦλθεν ἂν[7] κομιζομένου τὸν ἔρανον[8], εἰ ᾔδει· ἦλθε δ' οὐ τούτου ἕνεκα, ἀλλὰ συνέβη αὐτῷ ἐλθεῖν, καὶ ποιῆσαι τοῦτο τοῦ κομίσασθαι ἕνεκα[9]· τοῦτο δὲ[10] οὔθ' ὡς ἐπὶ τὸ πολὺ φοιτῶν εἰς τὸ χωρίον

1. Pred. partit. gen. 2. *The effect of chance* (subj. nom.). 3. *Of the former* (partit. gen.). 4. *Beyond* or *besides*, i.e. *outside the realm of.* 5. The purpose is only the unconscious purpose of nature. 6. Pred. nom. 7. *A man might have gone.* 8. Gen. abs.: *when his debtor was getting a subscription.* 9. The purpose is only the unconscious purpose of nature. 10. *Idque.*

οὔτ' ἐξ ἀνάγκης· ἔστι δὲ τὸ τέλος, ἡ κομιδή, οὐ τῶν ἐν αὐτῷ [1] αἰτίων [2], ἀλλὰ τῶν προαιρετῶν καὶ ἀπὸ διανοίας· καὶ λέγεταί γε τότε ἀπὸ τύχης ἐλθεῖν, εἰ δὲ προελόμενος καὶ τούτου ἕνεκα ἢ [3] ἀεὶ φοιτῶν ἢ ὡς ἐπὶ τὸ πολύ, οὐκ ἀπὸ τύχης. δῆλον ἄρα ὅτι ἡ τύχη αἰτίᾳ κατὰ συμβεβηκὸς ἐν τοῖς κατὰ προαίρεσιν τῶν [4] ἕνεκά του. διὸ περὶ τὸ αὐτὸ διάνοια καὶ τύχη· ἡ γὰρ προαίρεσις οὐκ ἄνευ διανοίας. ἀόριστα μὲν οὖν τὰ αἴτια ἀνάγκη εἶναι ἀφ' ὧν ἂν γένοιτο τὸ ἀπὸ τύχης. ὅθεν καὶ ἡ τύχη τοῦ ἀορίστου εἶναι δοκεῖ καὶ ἄδηλος ἀνθρώπῳ, καὶ ἔστιν ὡς [5] οὐδὲν ἀπὸ τύχης δόξειεν ἂν γίγνεσθαι. πάντα γὰρ ταῦτα ὀρθῶς λέγεται, εὐλόγως. ἔστιν μὲν γὰρ ὡς γίγνεται [6] ἀπὸ τύχης· κατὰ συμβεβηκὸς γὰρ γίγνεται, καὶ ἔστιν αἴτιον ὡς συμβεβηκὸς ἡ τύχη· ὡς [7] δ' ἁπλῶς οὐδενός· οἷον οἰκίας οἰκοδόμος μὲν αἴτιος, κατὰ συμβεβηκὸς δὲ αὐλητής, καὶ τοῦ ἐλθόντα κομίσασθαι τὸ ἀργύριον, μὴ τούτου ἕνεκα ἐλθόντα, ἄπειρα [8] τὸ πλῆθος· καὶ γὰρ ἰδεῖν τινὰ βουλόμενος καὶ διώκων καὶ φεύγων καὶ θεασόμενος. καὶ τὸ φάναι εἶναί τι παράλογον τὴν τύχην ὀρθῶς [9]· ὁ γὰρ λόγος [10] ἢ τῶν ἀεὶ ὄντων ἢ τῶν ὡς ἐπὶ τὸ πολύ, ἡ δὲ τύχη ἐν τοῖς γιγνομένοις παρὰ ταῦτα. ὥστ' ἐπεὶ ἀόριστα τὰ οὕτως αἴτια, καὶ ἡ τύχη ἀόριστον. . . . ἔστι μὲν οὖν ἄμφω αἴτια (καθάπερ εἴρηται) κατὰ συμβεβηκός—καὶ ἡ τύχη καὶ τὸ αὐτόματον—ἐν τοῖς ἐνδεχομένοις γίγνεσθαι μὴ ἁπλῶς [11] μηδ' ὡς ἐπὶ τὸ πολύ, καὶ τούτων [12] ὅσ' ἂν γένοιτο ἕνεκά του.

Physica ii. 195b31-36, 196b10-197a21, 197a32-35.

---

1. *In him* (the creditor). 2. Pred. partit. gen. 3. *Either*. 4. Partit. gen. with τοῖς: *"in the sphere of those actions for the sake of something which involve purpose"* (Hardie). 5. *It is possible that* (lit. *there is how*). 6. *Things occur*. 7. Rel. adv. modifying (and intensifying) ἁπλῶς. 8. Pred. adj. modifying the understood subj. τὰ αἴτια (with which τοῦ κομίσασθαι is object. gen.). 9. Sc. ἔχει. 10. *Rule*. 11. *Absolutely*, i.e. ἐξ ἀνάγκης. 12. Partit. gen. with ὅσα and referring to τοῖς ἐνδεχομένοις.

LV. CHANCE AND SPONTANEITY (Concl.)

341. Chance is spontaneity in the sphere of moral actions.

Διαφέρει δ' ὅτι τὸ αὐτόματον ἐπὶ πλεῖόν ἐστί [1]· τὸ μὲν γὰρ ἀπὸ τύχης πᾶν ἀπὸ ταὐτομάτου, τοῦτο δ' οὐ πᾶν ἀπὸ τύχης. ἡ μὲν γὰρ τύχη καὶ τὸ ἀπὸ τύχης ἐστὶν ὅσοις καὶ τὸ εὐτυχῆσαι ἂν ὑπάρξειεν καὶ ὅλως πρᾶξις. διὸ καὶ ἀνάγκη περὶ τὰ πρακτὰ εἶναι τὴν τύχην (σημεῖον δ' ὅτι δοκεῖ ἤτοι ταὐτὸν εἶναι τῇ εὐδαιμονίᾳ ἡ εὐτυχίᾳ ἢ ἐγγύς, ἡ δ' εὐδαιμονίᾳ πρᾶξίς τις· εὐπραξία γάρ), ὥσθ' ὁπόσοις μὴ ἐνδέχεται πρᾶξαι, οὐδὲ τὸ ἀπὸ τύχης τι ποιῆσαι. καὶ διὰ τοῦτο οὔτε ἄψυχον οὐδὲν οὔτε θηρίον οὔτε παιδίον οὐδὲν [2] ποιεῖ ἀπὸ τύχης, ὅτι οὐκ ἔχει προαίρεσιν· οὐδ' εὐτυχίᾳ οὐδ' ἀτυχίᾳ ὑπάρχει τούτοις, εἰ μὴ καθ' ὁμοιότητα, ὥσπερ ἔφη Πρώταρχος εὐτυχεῖς εἶναι τοὺς λίθους ἐξ ὧν οἱ βωμοί, ὅτι τιμῶνται, οἱ δὲ ὁμόζυγες αὐτῶν καταπατοῦνται. τὸ δὲ πάσχειν ἀπὸ τύχης ὑπάρξει πως καὶ τούτοις, ὅταν ὁ πράττων τι περὶ αὐτὰ πρᾶξῃ ἀπὸ τύχης, ἄλλως δὲ οὐκ ἔστιν· τὸ δ' αὐτόματον καὶ τοῖς ἄλλοις ζῴοις καὶ πολλοῖς τῶν ἀψύχων, οἷον ὁ ἵππος αὐτόματος, φαμέν, ἦλθεν, ὅτι ἐσώθη μὲν ἐλθών, οὐ τοῦ σωθῆναι δὲ ἕνεκα ἦλθε· καὶ ὁ τρίπους αὐτόματος κατέπεσεν ἕστη [3] μὲν γὰρ τοῦ καθῆσθαι ἕνεκα [4], ἀλλ' οὐ τοῦ καθῆσθαι ἕνεκα κατέπεσεν. ὥστε φανερὸν ὅτι ἐν τοῖς ἁπλῶς ἕνεκά του γιγνομένοις, ὅταν μὴ τοῦ συμβάντος ἕνεκα γένηται ὧν [5] ἔξω τὸ αἴτιον, τότε ἀπὸ τοῦ αὐτομάτου λέγομεν· ἀπὸ τύχης δέ, τούτων ὅσα ἀπὸ τοῦ αὐτομάτου γίγνεται τῶν προαιρετῶν τοῖς ἔχουσι προαίρεσιν [6].

τί μὲν οὖν ἐστιν τὸ αὐτόματον καὶ τί ἡ τύχη, εἴρηται, καὶ τί [7] διαφέρουσιν ἀλλήλων. τῶν δὲ τρόπων τῆς αἰτίας ἐν τοῖς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως ἑκάτερον αὐτῶν [8]. ἢ γὰρ τῶν φύσει τι ἢ τῶν ἀπὸ διανοίας αἰτίων ἀεί ἐστιν.

Physica ii. 197a36-b22, 198a1-4.

---

1. *Covers a wider field*. 2. Acc. 3. *Fell on its feet*. 4. *So as to serve for a seat* (Hardie); the purpose is only the unconscious purpose of nature. 5. The antecedent is the understood subj. of γένηται; *"when events of which the cause is outside happen not for the sake of the result which actually follows"* (Ross). 6. *Whereas we say that, of this class of events* (*spontaneous*), *those of the objects of purpose which happen spontaneously for beings that have purpose, happen by chance*. 7. Cogn. acc.: *how they differ*. 8. *As for the kinds of cause, both chance and spontaneity belong in the class "source of the origination of motion"*, i.e. efficient cause.

LVI. NATURE

342. Substances consist of matter and form. Substances that exist "by nature" are the objects of physical science. "Nature is a source or cause of being moved and of being at rest in that to which it belongs primarily, in virtue of itself and not in virtue of a concomitant attribute" (Hardie).

Τῶν ὄντων τὰ μέν ἐστι φύσει, τὰ δὲ δι' ἄλλας αἰτίας, φύσει μὲν τά τε ζῷα καὶ τὰ μέρη αὐτῶν καὶ τὰ φυτὰ καὶ τὰ ἁπλᾶ τῶν σωμάτων, οἷον γῆ καὶ πῦρ καὶ ἀὴρ καὶ ὕδωρ (ταῦτα γὰρ εἶναι καὶ τὰ τοιαῦτα φύσει φαμέν), πάντα δὲ ταῦτα φαίνεται διαφέροντα πρὸς τὰ μὴ φύσει συνεστῶτα. τούτων μὲν γὰρ ἕκαστον ἐν ἑαυτῷ ἀρχὴν ἔχει κινήσεως καὶ στάσεως, τὰ μὲν κατὰ τόπον, τὰ δὲ κατ' αὔξησιν καὶ φθίσιν, τὰ δὲ κατ' ἀλλοίωσιν· κλίνη δὲ καὶ ἱμάτιον, καὶ εἴ τι τοιοῦτον ἄλλο γένος ἐστίν, ᾗ μὲν τετύχηκε τῆς κατηγορίας ἑκάστης [1] καὶ καθ' ὅσον ἐστὶν ἀπὸ τέχνης, οὐδεμίαν ὁρμὴν ἔχει μεταβολῆς ἔμφυτον, ᾗ δὲ συμβέβηκεν αὐτοῖς εἶναι λιθίνοις ἢ γηΐνοις ἢ μικτοῖς ἐκ τούτων, ἔχει, καὶ κατὰ τοσοῦτον, ὡς οὔσης τῆς φύσεως ἀρχῆς τινος καὶ αἰτίας τοῦ κινεῖσθαι καὶ ἠρεμεῖν ἐν ᾧ [2] ὑπάρχει πρώτως καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός (λέγω δὲ τὸ μὴ κατὰ συμβεβηκός, ὅτι γένοιτ' ἂν αὐτὸς αὑτῷ τις αἴτιος ὑγιείας ὢν ἰατρός· ἀλλ' ὅμως οὐ καθὸ ὑγιάζεται τὴν ἰατρικὴν ἔχει, ἀλλὰ συμβέβηκεν τὸν αὐτὸν ἰατρὸν εἶναι καὶ ὑγιαζόμενον· διὸ καὶ χωρίζεταί ποτ' ἀπ' ἀλλήλων). ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον τῶν ποιουμένων [3]. οὐδὲν γὰρ αὐτῶν ἔχει τὴν ἀρχὴν ἐν ἑαυτῷ τῆς ποιήσεως, ἀλλὰ τὰ μὲν ἐν ἄλλοις καὶ ἔξωθεν, οἷον οἰκία καὶ τῶν ἄλλων τῶν χειροκμήτων ἕκαστον, τὰ δ' [4] ἐν αὐτοῖς μὲν ἀλλ' οὐ καθ' αὑτά, ὅσα κατὰ συμβεβηκὸς αἴτια γένοιτ' ἂν αὐτοῖς. φύσις μὲν οὖν ἐστὶ τὸ ῥηθέν· φύσιν δὲ ἔχει ὅσα τοιαύτην ἔχει ἀρχήν. καὶ ἔστιν πάντα ταῦτα οὐσία· ὑποκείμενον γάρ τι [5], καὶ ἐν ὑποκειμένῳ ἐστὶν ἡ φύσις ἀεί.

Physica ii. 192b8-34.

1. *Each such predicate* (e.g. κλίνη). 2. ἐν ᾧ = ἐν τούτῳ ἐν ᾧ. 3. *Manufactured things.* 4. e.g. the physician who, as patient, was only κατὰ συμβεβηκὸς αἴτιος of his cure. 5. ὑποκείμενόν τι is pred. nom. to the understood subj. ταῦτα.

LVII. NATURE (Concl.)

343. Nature is always *in* substances; it is less in the matter than in the form.

Δοκεῖ δ' ἡ φύσις καὶ ἡ οὐσία τῶν φύσει ὄντων ἐνίοις [1] εἶναι τὸ πρῶτον [2] ἐνυπάρχον ἑκάστῳ, ἀρρύθμιστον ὂν καθ' ἑαυτό, οἷον κλίνης [3] φύσις τὸ ξύλον, ἀνδριάντος δ' ὁ χαλκός. . . . ἕνα μὲν οὖν τρόπον οὕτως ἡ φύσις λέγεται, ἡ πρώτη [2] ἑκάστῳ ὑποκειμένη ὕλη τῶν ἐχόντων ἐν αὑτοῖς ἀρχὴν κινήσεως καὶ μεταβολῆς, ἄλλον δὲ τρόπον ἡ μορφὴ καὶ τὸ εἶδος τὸ κατὰ τὸν λόγον. . . . καὶ μᾶλλον αὕτη φύσις τῆς ὕλης [4]· ἕκαστον γὰρ τότε λέγεται [5] ὅταν ἐντελεχείᾳ ᾖ, μᾶλλον ἢ ὅταν δυνάμει. ἔτι γίγνεται ἄνθρωπος ἐξ ἀνθρώπου, ἀλλ' οὐ κλίνη ἐκ κλίνης· διὸ καί φασιν οὐ τὸ σχῆμα εἶναι τὴν φύσιν ἀλλὰ τὸ ξύλον, ὅτι γένοιτ' ἄν, εἰ βλαστάνοι, οὐ κλίνη ἀλλὰ ξύλον. εἰ δ' ἄρα τοῦτο [6] φύσις, καὶ ἡ μορφὴ φύσις· γίγνεται γὰρ ἐξ ἀνθρώπου ἄνθρωπος.

Physica ii. 193a9-12, 28-31, 193b6-12.

1. With δοκεῖ. 2. *Proximate.* 3. Though a bed as a bed is a ποιούμενον, a bed as wood is a φύσει ὄν. 4. Gen. of compar. 5. *Is called what it is called.* 6. τοῦτο = ξύλον. The wood is the nature of a bed; the form is the nature of a man.

LVIII. CHANGE AND MOTION

344. There are four kinds of change: change of substance, of quality, of quantity, and of place. The last three of these are the three kinds of movement. (In the following passage this distinction is not observed.)

Ἐπεὶ δ' ἡ φύσις μέν ἐστιν ἀρχὴ κινήσεως καὶ μεταβολῆς, ἡ δὲ μέθοδος ἡμῖν περὶ φύσεώς ἐστι, δεῖ μὴ λανθάνειν τί ἐστι κίνησις· ἀναγκαῖον γὰρ ἀγνοουμένης αὐτῆς ἀγνοεῖσθαι καὶ τὴν φύσιν. . . . ἔστι δὴ τὸ μὲν ἐντελεχείᾳ μόνον, τὸ δὲ δυνάμει καὶ ἐντελεχείᾳ [1], τὸ μὲν τόδε τι, τὸ δὲ τοσόνδε, τὸ δὲ τοιόνδε, καὶ τῶν ἄλλων τῶν τοῦ ὄντος κατηγοριῶν ὁμοίως [2]. τοῦ δὲ πρός τι [3] τὸ μὲν καθ' ὑπεροχὴν λέγεται καὶ κατ' ἔλλειψιν, τὸ δὲ κατὰ τὸ ποιητικὸν καὶ παθητικόν, καὶ ὅλως κινητικόν τε καὶ κινητόν· τὸ γὰρ κινητικὸν κινητικὸν τοῦ κινητοῦ καὶ τὸ κινητὸν κινητὸν ὑπὸ τοῦ κινητικοῦ. οὐκ ἔστι δὲ κίνησις παρὰ τὰ πράγματα [4]· μεταβάλλει γὰρ ἀεὶ τὸ μεταβάλλον ἢ κατ' οὐσίαν ἢ κατὰ ποσὸν ἢ κατὰ ποιὸν ἢ κατὰ τόπον, κοινὸν δ' ἐπὶ τούτων οὐδέν ἐστι λαβεῖν, ὡς φαμέν, ὃ οὔτε τόδε οὔτε ποσὸν οὔτε ποιὸν οὔτε τῶν ἄλλων κατηγορημάτων οὐθέν· ὥστ' οὐδὲ κίνησις οὐδὲ μεταβολὴ οὐθενὸς ἔσται παρὰ τὰ εἰρημένα, μηθενός γε ὄντος παρὰ τὰ εἰρημένα. ἕκαστον [5] δὲ διχῶς ὑπάρχει πᾶσιν, οἷον τὸ τόδε (τὸ μὲν γὰρ μορφὴ αὐτοῦ, τὸ δὲ στέρησις), καὶ κατὰ τὸ ποιόν (τὸ μὲν γὰρ λευκὸν τὸ δὲ μέλαν), καὶ κατὰ τὸ ποσὸν τὸ μὲν τέλειον τὸ δ' ἀτελές. ὁμοίως δὲ καὶ κατὰ τὴν φορᾶν τὸ μὲν ἄνω τὸ δὲ κάτω, ἢ τὸ μὲν κοῦφον τὸ δὲ βαρύ. . . . ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια [6], ᾗ τοιοῦτον, κίνησίς ἐστιν, οἷον τοῦ μὲν ἀλλοιωτοῦ, ᾗ ἀλλοιωτόν, ἀλλοίωσις, τοῦ δὲ αὐξητοῦ καὶ τοῦ ἀντικειμένου φθιτοῦ (οὐδὲν γὰρ ὄνομα κοινὸν ἐπ' ἀμφοῖν) αὔξησις καὶ φθίσις, τοῦ δὲ γενητοῦ καὶ φθαρτοῦ γένεσις καὶ φθορά, τοῦ δὲ φορητοῦ φορά.

Physica iii. 200b12-15, 200b26-201a8, 201a10-15.

1. "τὸ ἐντελεχείᾳ μόνον is that which is always actually what it ever is, in respect of substance, size, quality, and the other categories; τὸ δυνάμει καὶ ἐντελεχείᾳ is that which passes from a state of potentiality to one of actuality in any of these respects." (Ross.) 2. *And so too in the case of things in the other categories* (Ross). The other categories are not listed, for, though the antithesis is to be found in them also, change is not. 3. *Of the relative* (partit. gen.). 4. *The things that move.* 5. Sc. κατηγόρημα. 6. *Actualization.*

LIX. CHANGE

345. A thing may change (1) accidentally, (2) because something belonging to it changes, (3) because it itself is directly in motion. A mover may cause motion (1) accidentally, (2) because something belonging to it causes motion, (3) directly. A goal of motion may be so (1) accidentally, (2) partially, (3) directly and in itself.

Μεταβάλλει δὲ τὸ μεταβάλλον πᾶν τὸ μὲν κατὰ συμβεβηκός, οἷον ὅταν λέγωμεν τὸ μουσικὸν βαδίζειν, ὅτι ᾧ συμβέβηκεν μουσικῷ [1] εἶναι, τοῦτο βαδίζει· τὸ δὲ τῷ τούτου τι μεταβάλλειν [2] ἁπλῶς λέγεται μεταβάλλειν, οἷον ὅσα λέγεται κατὰ μέρη [3] (ὑγιάζεται γὰρ τὸ σῶμα, ὅτι ὁ ὀφθαλμὸς ἢ ὁ θώραξ, ταῦτα δὲ μέρη τοῦ ὅλου σώματος)· ἔστι δέ τι ὃ οὔτε κατὰ συμβεβηκὸς κινεῖται οὔτε τῷ ἄλλο τι τῶν αὐτοῦ [4], ἀλλὰ τῷ αὐτὸ κινεῖσθαι πρῶτον.

Ἔστι δὲ καὶ ἐπὶ τοῦ κινοῦντος ὡσαύτως· τὸ μὲν γὰρ κατὰ συμβεβηκὸς κινεῖ, τὸ δὲ κατὰ μέρος τῷ τῶν τούτου τι [5], τὸ δὲ καθ' αὑτὸ πρῶτον, οἷον ὁ μὲν ἰατρὸς ἰᾶται, ἡ δὲ χεὶρ πλήττει. ἐπεὶ δ' ἔστι μέν τι τὸ κινοῦν πρῶτον, ἔστι δέ τι τὸ κινούμενον, ἔτι ἐν ᾧ [6], ὁ χρόνος, καὶ παρὰ ταῦτα ἐξ οὗ καὶ εἰς ὅ [7] (πᾶσα γὰρ κίνησις ἔκ τινος καὶ εἴς τι· ἕτερον γὰρ τὸ πρῶτον κινούμενον καὶ εἰς ὃ [8] κινεῖται καὶ ἐξ οὗ, οἷον τὸ ξύλον καὶ τὸ θερμὸν καὶ τὸ ψυχρόν· τούτων δὲ τὸ μὲν ὅ, τὸ δ' εἰς ὅ, τὸ δ' ἐξ οὗ), ἡ δὴ κίνησις δῆλον ὅτι ἐν τῷ ξύλῳ, οὐκ ἐν τῷ εἴδει· οὔτε γὰρ κινεῖ οὔτε κινεῖται τὸ εἶδος ἢ ὁ τόπος ἢ τὸ τοσόνδε.

Τὰ δὲ εἴδη καὶ τὰ πάθη καὶ ὁ τόπος, εἰς ἃ κινοῦνται τὰ κινούμενα, ἀκίνητά ἐστιν, οἷον ἡ ἐπιστήμη καὶ ἡ θερμότης. . . . ἔστιν δὲ καὶ ἐν ἐκείνοις καὶ τὸ κατὰ συμβεβηκὸς καὶ τὸ κατὰ μέρος καὶ κατ' ἄλλο καὶ τὸ πρώτως καὶ μὴ κατ' ἄλλο, οἷον τὸ λευκαινόμενον εἰς μὲν τὸ νοούμενον μεταβάλλει κατὰ συμβεβηκός (τῷ γὰρ χρώματι συμβέβηκε νοεῖσθαι), εἰς δὲ χρῶμα ὅτι μέρος τὸ λευκὸν τοῦ χρώματος (καὶ εἰς τὴν Εὐρώπην ὅτι μέρος αἱ Ἀθῆναι τῆς Εὐρώπης), εἰς δὲ τὸ λευκὸν χρῶμα καθ' αὑτό [9].

Physica v. 224a21-28, 224a30-b6, 224b11-13, 16-22.

1. Pred. adj. assimilated to the dat. 2. Dat. of cause: *that which changes because something belonging to it changes.* 3. Sc. μεταβάλλειν. 4. Sc. κινεῖσθαι. 5. Sc. κινεῖν. 6. *That in which.* 7. *That from which and that to which.* 8. *That to which.* 9. καθ' αὑτό is dependent on μεταβάλλει understood.

LX. THE INFINITE

346. Ἔχει δ' ἀπορίᾱν ἡ περὶ τοῦ ἀπείρου θεωρίᾱ· καὶ γὰρ μὴ εἶναι τιθεμένοις πόλλ' ἀδύνατα συμβαίνει καὶ εἶναι [1]. ἔτι δὲ ποτέρως ἔστιν, πότερον ὡς οὐσίᾱ ἢ ὡς συμβεβηκὸς καθ' αὑτὸ φύσει τινί [2]· ἢ οὐδετέρως, ἀλλ' οὐδὲν ἧττον ἔστιν ἄπειρον ἢ ἄπειρα τῷ πλήθει; μάλιστα δὲ φυσικοῦ ἐστιν σκέψασθαι εἰ ἔστι μέγεθος αἰσθητὸν ἄπειρον. πρῶτον οὖν διοριστέον ποσαχῶς λέγεται τὸ ἄπειρον. ἕνα μὲν δὴ τρόπον τὸ ἀδύνατον διελθεῖν [3] τῷ μὴ πεφῡκέναι [4] διιέναι [3], ὥσπερ ἡ φωνὴ ἀόρᾱτος· ἄλλως δὲ τὸ διέξοδον ἔχον ἀτελεύτητον, ἢ ὃ μόγις [5], ἢ ὃ πεφῡκὸς ἔχειν μὴ ἔχει διέξοδον ἢ πέρας. ἔτι ἄπειρον ἅπαν ἢ κατὰ πρόσθεσιν ἢ κατὰ διαίρεσιν ἢ ἀμφοτέρως [6].

Ἄλλως [7] δ' ἔν τε τῷ χρόνῳ δῆλον τὸ ἄπειρον καὶ ἐπὶ τῶν ἀνθρώπων καὶ ἐπὶ τῆς διαιρέσεως τῶν μεγεθῶν. ὅλως μὲν γὰρ οὕτως ἔστιν [8] τὸ ἄπειρον, τῷ ἀεὶ ἄλλο καὶ ἄλλο λαμβάνεσθαι [9], καὶ τὸ λαμβανόμενον μὲν ἀεὶ εἶναι πεπερασμένον, ἀλλ' ἀεί γε ἕτερον καὶ ἕτερον. . . . ἀλλ' ἐν τοῖς μεγέθεσιν ὑπομένοντος τοῦ ληφθέντος τοῦτο συμβαίνει, ἐπὶ δὲ τοῦ χρόνου καὶ τῶν ἀνθρώπων φθειρομένων [10] οὕτως ὥστε μὴ ἐπιλείπειν. τὸ δὲ κατὰ πρόσθεσιν [11] τὸ αὐτό ἐστί πως καὶ [12] τὸ κατὰ διαίρεσιν· ἐν γὰρ τῷ πεπερασμένῳ κατὰ πρόσθεσιν γίγνεται [13] ἀντεστραμμένως· ᾗ γὰρ διαιρούμενον ὁρᾶται εἰς ἄπειρον, ταύτῃ προστιθέμενον φανεῖται πρὸς τὸ ὡρισμένον. ἐν γὰρ τῷ πεπερασμένῳ μεγέθει ἂν λαβών τις ὡρισμένον προσλαμβάνῃ τῷ αὐτῷ λόγῳ [14], μὴ τὸ αὐτό τι τοῦ ὅλου μέγεθος περιλαμβάνων, οὐ διέξεισι τὸ πεπερασμένον· ἐὰν δ' οὕτως αὔξῃ τὸν λόγον ὥστε ἀεί τι τὸ αὐτὸ περιλαμβάνειν μέγεθος, διέξεισι, διὰ τὸ πᾶν πεπερασμένον ἀναιρεῖσθαι ὁτῳοῦν ὡρισμένῳ. ἄλλως μὲν οὖν οὐκ ἔστιν, οὕτως δ' ἔστι τὸ ἄπειρον, δυνάμει τε καὶ ἐπὶ καθαιρέσει [15] (καὶ ἐντελεχείᾳ δὲ ἔστιν, ὡς τὴν ἡμέρᾱν εἶναι λέγομεν καὶ τὸν ἀγῶνα)· καὶ δυνάμει οὕτως ὡς ἡ ὕλη, καὶ οὐ καθ' αὑτό, ὡς τὸ πεπερασμένον. καὶ κατὰ πρόσθεσιν δὴ οὕτως ἄπειρον [16] δυνάμει ἐστίν, ὃ ταὐτὸ λέγομεν τρόπον τινὰ εἶναι τῷ κατὰ διαίρεσιν· ἀεὶ μὲν γάρ τι ἔξω ἔσται [17] λαμβάνειν, οὐ μέντοι

1. Sc. τιθεμένοις. 2. *The essential attribute of some entity* (Hardie). 3. Act. for pass., as in "house to let." 4. Dat. of cause. 5. ὃ μόγις = ὃ διέξοδον μόγις ἔχει, *what scarcely admits of being gone through* (Hardie). 6. "According to Aristotle, number is infinite κατὰ πρόσθεσιν, space κατὰ διαίρεσιν, and time ἀμφοτέρως." Ross. 7. *Differently*. 8. *Has this mode of existence* (Hardie); οὕτως refers to what follows. 9. Dat. of manner. 10. φθειρομένων (supply τοῦ χρόνου καὶ τῶν ἀνθρώπων) begins a second gen. abs.; it is on the two gen. absolutes that the chief emphasis lies. 11. Sc. ἄπειρον. 12. *As*. 13. *The infinite by addition comes about* (Hardie). 14. *Add another part determined by the same ratio*. 15. *By way of exhaustion*. 16. Subj. nom. 17. *It will be possible*.

ὑπερβαλεῖ παντὸς μεγέθους, ὥσπερ ἐπὶ τὴν διαίρεσιν [1] ὑπερβάλλει [2] παντὸς ὡρισμένου καὶ ἀεὶ ἔσται ἔλαττον [3]. ὥστε δὲ παντὸς ὑπερβάλλειν [4] κατὰ τὴν πρόσθεσιν, οὐδὲ δυνάμει οἷόν τε εἶναι [5], εἴπερ μὴ ἔστι κατὰ συμβεβηκὸς ἐντελεχείᾳ ἄπειρον, ὥσπερ φᾱσὶν οἱ φυσιολόγοι τὸ ἔξω σῶμα τοῦ κόσμου [6], οὗ ἡ οὐσίᾱ ἢ ἀὴρ ἢ ἄλλο τι τοιοῦτον, ἄπειρον εἶναι. ἀλλ' εἰ μὴ οἷόν τε εἶναι ἄπειρον ἐντελεχείᾳ σῶμα αἰσθητὸν οὕτω [7], φανερὸν ὅτι οὐδὲ δυνάμει ἂν εἴη κατὰ πρόσθεσιν, ἀλλ' ἢ [8] ὥσπερ εἴρηται ἀντεστραμμένως τῇ διαιρέσει.

Συμβαίνει δὲ τοὐναντίον εἶναι ἄπειρον ἢ ὡς λέγουσιν. οὐ γὰρ οὗ μηδὲν ἔξω, ἀλλ' οὗ ἀεί τι ἔξω ἐστί, τοῦτο ἄπειρόν ἐστιν. σημεῖον δέ· καὶ γὰρ τοὺς δακτυλίους ἀπείρους λέγουσι τοὺς μὴ ἔχοντας σφενδόνην, ὅτι αἰεί τι ἔξω ἔστι λαμβάνειν, καθ' ὁμοιότητα μέν τινα λέγοντες, οὐ μέντοι κῡρίως· δεῖ γὰρ τοῦτό τε ὑπάρχειν καὶ μηδέ ποτε τὸ αὐτὸ λαμβάνεσθαι· ἐν δὲ τῷ κύκλῳ οὐ γίγνεται οὕτως, ἀλλ' αἰεὶ τὸ ἐφεξῆς μόνον ἕτερον. ἄπειρον μὲν οὖν ἐστιν οὗ κατὰ τὸ ποσὸν λαμβάνουσιν [9] αἰεί τι λαμβάνειν ἔστιν ἔξω. οὗ δὲ μηδὲν ἔξω, τοῦτ' ἔστι τέλειον καὶ ὅλον· οὕτω γὰρ ὁριζόμεθα τὸ ὅλον, οὗ μηδὲν ἄπεστιν, οἷον ἄνθρωπον ὅλον.

Physica iii. 203b30-204a7, 206a25-29, 206a33-b27, 206b33-207a10.

1. *In the direction of division*. 2. *Surpasses in smallness*. 3. Subj. nom. 4. ὥστε παντὸς ὑπερβάλλειν, *so as to exceed any assigned magnitude*. 5. Sc. ἄπειρον (subj. acc.). 6. Gen. with ἔξω. 7. With εἶναι. 8. ἀλλ' ἢ *except*. 9. Dat.

LXI. PLACE

347. That place exists is indicated by (1) the fact of mutual replacement, (2) the trends of earth, air, fire, and water. Place must be (1) form or (2) the interval between the extremities or (3) matter or (4) the boundary of what contains. It cannot be (1) the form, which is not *separate* from the thing and which bounds the *thing*, (2) the interval between the extremities, which exists only as an accident of the contained bodies, (3) the matter, which is not separate from the thing and which does not contain the thing. Place is the first motionless boundary of what contains.

Ὅτι μὲν οὖν ἔστιν ὁ τόπος, δοκεῖ δῆλον εἶναι ἐκ τῆς ἀντιμεταστάσεως· ὅπου γὰρ ἔστι νῦν ὕδωρ, ἐνταῦθα ἐξελθόντος[1] ὥσπερ ἐξ ἀγγείου πάλιν ἀὴρ ἔνεστιν, ὁτὲ δὲ τὸν αὐτὸν τόπον τοῦτον ἄλλο τι τῶν σωμάτων κατέχει· τοῦτο δὴ τῶν ἐγγιγνομένων καὶ μεταβαλλόντων ἕτερον πάντων εἶναι δοκεῖ· ἐν ᾧ γὰρ ἀὴρ ἔστι νῦν, ὕδωρ ἐν τούτῳ πρότερον ἦν, ὥστε δῆλον ὡς ἦν ὁ τόπος τι καὶ ἡ χώρᾱ ἕτερον ἀμφοῖν[2], εἰς ἣν καὶ ἐξ ἧς μετέβαλλον. ἔτι δὲ αἱ φοραὶ τῶν φυσικῶν σωμάτων καὶ ἁπλῶν, οἷον πυρὸς καὶ γῆς καὶ τῶν τοιούτων, οὐ μόνον δηλοῦσιν ὅτι ἐστί τι ὁ τόπος, ἀλλ' ὅτι καὶ ἔχει τινὰ δύναμιν. φέρεται γὰρ ἕκαστον εἰς τὸν αὑτοῦ τόπον μὴ κωλῡόμενον, τὸ μὲν ἄνω τὸ δὲ κάτω· ταῦτα δ' ἐστὶ τόπου μέρη καὶ εἴδη, τό τε ἄνω καὶ τὸ κάτω καὶ αἱ λοιπαὶ τῶν ἓξ διαστάσεων. ἔστι δὲ τὰ τοιαῦτα οὐ μόνον πρὸς ἡμᾶς, τὸ ἄνω καὶ κάτω καὶ δεξιὸν καὶ ἀριστερόν· ἡμῖν μὲν γὰρ οὐκ ἀεὶ τὸ αὐτό, ἀλλὰ κατὰ τὴν θέσιν, ὅπως ἂν στραφῶμεν, γίγνεται (διὸ καὶ ταὐτὸ πολλάκις δεξιὸν καὶ ἀριστερὸν καὶ ἄνω καὶ κάτω καὶ πρόσθεν καὶ ὄπισθεν), ἐν δὲ τῇ φύσει διώρισται χωρὶς ἕκαστον. οὐ γὰρ ὅ τι ἔτυχέν ἐστι τὸ ἄνω, ἀλλ' ὅπου φέρεται τὸ πῦρ καὶ τὸ κοῦφον· ὁμοίως δὲ καὶ τὸ κάτω οὐχ ὅ τι ἔτυχεν, ἀλλ' ὅπου τὰ ἔχοντα βάρος καὶ τὰ γεηρά, ὡς οὐ τῇ θέσει διαφέροντα μόνον ἀλλὰ καὶ τῇ δυνάμει.

Ὅτι μὲν οὖν ἐστί τι ὁ τόπος παρὰ τὰ σώματα, καὶ πᾶν σῶμα αἰσθητὸν ἐν τόπῳ[3], διὰ τούτων ἄν τις ὑπολάβοι.

Οὐ μὴν ἀλλ' ἔχει γε ἀπορίᾱν, εἰ ἔστι, τί ἐστι, πότερον ὄγκος τις σώματος ἤ τις ἑτέρᾱ φύσις[4]. ζητητέον γὰρ τὸ γένος αὐτοῦ πρῶτον. διαστήματα μὲν οὖν ἔχει τρία, μῆκος καὶ πλάτος καὶ βάθος, οἷς ὁρίζεται σῶμα πᾶν. ἀδύνατον δὲ

1. Sc. τοῦ ὕδατος, 2. *The place or space was something different from both.* 3. ἐν τόπῳ is the pred. 4. *Entity.*

σῶμα εἶναι τὸν τόπον· ἐν ταὐτῷ γὰρ ἂν εἴη δύο σώματα. ἔτι εἴπερ ἔστι σώματος τόπος καὶ χώρᾱ, δῆλον ὅτι καὶ ἐπιφανείᾱς καὶ τῶν λοιπῶν περάτων· ὁ γὰρ αὐτὸς ἁρμόσει λόγος· ὅπου γὰρ ἦν πρότερον τὰ τοῦ ὕδατος ἐπίπεδα, ἔσται πάλιν τὰ τοῦ ἀέρος. ἀλλὰ μὴν οὐδεμίαν διαφορᾶν ἔχομεν στιγμῆς καὶ τόπου στιγμῆς, ὥστ' εἰ μηδὲ ταύτης ἕτερόν ἐστιν ὁ τόπος, οὐδὲ τῶν ἄλλων οὐδενός, οὐδ' ἐστί τι παρ' ἕκαστον τούτων ὁ τόπος. τί γὰρ ἄν ποτε καὶ θείημεν εἶναι τὸν τόπον; οὔτε γὰρ στοιχεῖον οὔτ' ἐκ στοιχείων οἷόν τε εἶναι τοιαύτην ἔχοντα φύσιν, οὔτε τῶν σωματικῶν οὔτε τῶν ἀσωμάτων· μέγεθος μὲν γὰρ ἔχει, σῶμα δ' οὐδέν· ἔστι δὲ τὰ μὲν τῶν αἰσθητῶν στοιχεῖα σώματα, ἐκ δὲ τῶν νοητῶν οὐδὲν γίγνεται μέγεθος. ἔτι δὲ καὶ τίνος ἄν τις θείη τοῖς οὖσιν αἴτιον εἶναι τὸν τόπον; οὐδεμία γὰρ αὐτῷ ὑπάρχει αἰτίᾱ τῶν τεττάρων· οὔτε γὰρ ὡς ὕλη τῶν ὄντων (οὐδὲν γὰρ ἐξ αὐτοῦ συνέστηκεν) οὔτε ὡς εἶδος καὶ λόγος τῶν πρᾱγμάτων οὔθ' ὡς τέλος, οὔτε κινεῖ τὰ ὄντα. . . . διὰ μὲν οὖν τούτων οὐ μόνον τί ἐστιν, ἀλλὰ καὶ εἰ ἔστιν, ἀπορεῖν ἀναγκαῖον.

Ἐπεὶ δὲ τὸ μὲν καθ' αὑτὸ τὸ δὲ κατ' ἄλλο λέγεται[1], καὶ τόπος ὁ μὲν κοινός, ἐν ᾧ ἅπαντα τὰ σώματά ἐστιν, ὁ δ' ἴδιος, ἐν ᾧ πρώτῳ (λέγω δὲ οἷον σὺ νῦν ἐν τῷ οὐρανῷ ὅτι ἐν τῷ ἀέρι οὗτος[2] δ' ἐν τῷ οὐρανῷ, καὶ ἐν τῷ ἀέρι δὲ ὅτι ἐν τῇ γῇ, ὁμοίως δὲ καὶ ἐν ταύτῃ ὅτι ἐν τῷδε τῷ τόπῳ, ὃς περιέχει οὐδὲν πλέον ἢ σέ), εἰ δή ἐστιν ὁ τόπος τὸ πρῶτον περιέχον ἕκαστον τῶν σωμάτων, πέρας τι ἂν εἴη, ὥστε δόξειεν ἂν τὸ εἶδος καὶ ἡ μορφὴ ἑκάστου ὁ τόπος εἶναι, ᾧ ὁρίζεται τὸ μέγεθος καὶ ἡ ὕλη ἡ τοῦ μεγέθους· τοῦτο γὰρ ἑκάστου πέρας. οὕτω μὲν οὖν σκοποῦσιν[3] ὁ τόπος τὸ ἑκάστου εἶδός ἐστιν· ᾗ δὲ δοκεῖ ὁ τόπος εἶναι τὸ διάστημα τοῦ μεγέθους, ἡ ὕλη· τοῦτο[4] γὰρ ἕτερον τοῦ μεγέθους, τοῦτο[4] δ' ἐστὶ τὸ περιεχόμενον ὑπὸ τοῦ εἴδους καὶ ὡρισμένον, οἷον ὑπὸ ἐπιπέδου καὶ πέρατος, ἔστι δὲ τοιοῦτον ἡ ὕλη καὶ τὸ ἀόριστον· ὅταν γὰρ ἀφαιρεθῇ τὸ πέρας καὶ τὰ πάθη τῆς σφαίρᾱς, λείπεται οὐδὲν παρὰ τὴν ὕλην.

Ἀλλὰ μὴν ὅτι γε ἀδύνατον ὁποτερονοῦν τούτων[5] εἶναι τὸν τόπον, οὐ χαλεπὸν ἰδεῖν. τὸ μὲν γὰρ εἶδος καὶ ἡ ὕλη οὐ χωρίζεται τοῦ πρᾱγματος, τὸν δὲ τόπον ἐνδέχεται[6]· ἐν ᾧ γὰρ ἀὴρ ἦν, ἐν τούτῳ πάλιν ὕδωρ, ὥσπερ ἔφαμεν, γίγνεται, ἀντιμεθισταμένων ἀλλήλοις τοῦ τε ὕδατος καὶ τοῦ ἀέρος, καὶ τῶν ἄλλων σωμάτων ὁμοίως, ὥστε οὔτε μόριον οὔθ' ἕξις ἀλλὰ χωριστὸς ὁ τόπος ἑκάστου ἐστί. καὶ γὰρ δοκεῖ τοιοῦτό τι εἶναι ὁ τόπος οἷον τὸ ἀγγεῖον (ἔστι γὰρ τὸ ἀγγεῖον τόπος μεταφορητός)· τὸ δ' ἀγγεῖον οὐδὲν τοῦ πρᾱγματός ἐστιν. ᾗ μὲν οὖν χωριστὸς τοῦ πρᾱγματος, ταύτῃ μὲν οὐκ ἔστι τὸ εἶδος· ᾗ δὲ περιέχει, ταύτῃ δ'[7] ἕτερος τῆς ὕλης. δοκεῖ δὲ ἀεὶ τὸ ὄν που αὐτό τε εἶναί τι καὶ ἕτερόν τι[8] ἐκτὸς αὐτοῦ.

1. *Since one thing is predicated with reference to itself* (i.e. *absolutely*) *and another with reference to something else* (i.e. *relatively*). 2. Air. 3. Dat. 4. Refers to τὸ διάστημα τοῦ μεγέθους. 5. Form and matter. 6. Sc. χωρίζεσθαι. 7. δέ marks the apodosis. 8. ἕτερόν τι is grammatically parallel with τὸ ὄν.

Τί δέ ποτ' ἐστὶν ὁ τόπος, ὧδ' ἂν γένοιτο φανερόν. λάβωμεν δὲ περὶ αὐτοῦ ὅσα δοκεῖ ἀληθῶς καθ' αὑτὸ ὑπάρχειν αὐτῷ. ἀξιοῦμεν[1] δὴ τὸν τόπον εἶναι πρῶτον[2] μὲν περιέχον ἐκεῖνο[3] οὗ τόπος ἐστί, καὶ μηδὲν[4] τοῦ πράγματος, ἔτι τὸν πρῶτον[5] μήτ' ἐλάττω μήτε μείζω[6], ἔτι ἀπολείπεσθαι ἑκάστου[7] καὶ χωριστὸν εἶναι, πρὸς δὲ τούτοις πάντα τόπον ἔχειν τὸ ἄνω καὶ κάτω, καὶ φέρεσθαι φύσει καὶ μένειν ἐν τοῖς οἰκείοις τόποις ἕκαστον τῶν σωμάτων, τοῦτο[8] δὲ ποιεῖν ἢ ἄνω ἢ κάτω.

Ἤδη τοίνυν φανερὸν ἐκ τούτων τί ἐστιν ὁ τόπος. σχεδὸν γὰρ τέτταρά ἐστιν ὧν ἀνάγκη τὸν τόπον ἕν τι εἶναι· ἢ γὰρ μορφὴ ἢ ὕλη ἢ διάστημά τι τὸ μεταξὺ τῶν ἐσχάτων[9], ἢ τὰ ἔσχατα εἰ μὴ ἔστι μηδὲν διάστημα παρὰ τὸ τοῦ ἐγγιγνομένου σώματος μέγεθος. τούτων δ' ὅτι οὐκ ἐνδέχεται τὰ τρία εἶναι, φανερόν· ἀλλὰ διὰ μὲν τὸ περιέχειν δοκεῖ ἡ μορφὴ εἶναι[10]· ἐν ταὐτῷ γὰρ τὰ ἔσχατα τοῦ περιέχοντος καὶ τοῦ περιεχομένου. ἔστι μὲν ἄμφω[11] πέρατα, ἀλλ' οὐ τοῦ αὐτοῦ, ἀλλὰ τὸ μὲν εἶδος τοῦ πράγματος[12], ὁ δὲ τόπος τοῦ περιέχοντος σώματος. διὰ δὲ τὸ μεταβάλλειν πολλάκις μένοντος τοῦ περιέχοντος τὸ περιεχόμενον καὶ διῃρημένον[13], οἷον ἐξ ἀγγείου ὕδωρ, τὸ μεταξὺ εἶναί τι δοκεῖ διάστημα[14], ὡς ὄν τι παρὰ τὸ σῶμα τὸ μεθιστάμενον. τὸ δ' οὐκ ἔστιν, ἀλλὰ τὸ τυχὸν ἐμπίπτει[15] σῶμα τῶν μεθισταμένων καὶ ἅπτεσθαι[16] πεφῦκότων. εἰ δ' ἦν τι διάστημα καθ' αὑτὸ πεφῦκὸς εἶναι καὶ μένον, ἐν τῷ αὐτῷ ἄπειροι ἂν ἦσαν τόποι (μεθισταμένου γὰρ τοῦ ὕδατος καὶ τοῦ ἀέρος ταὐτὸ ποιήσει τὰ μόρια πάντα ἐν τῷ ὅλῳ ὅπερ ἅπαν τὸ ὕδωρ ἐν τῷ ἀγγείῳ)· ἅμα δὲ καὶ ὁ τόπος ἔσται μεταβάλλων· ὥστ' ἔστι τοῦ τόπου τ' ἄλλος τόπος, καὶ πολλοὶ τόποι ἅμα ἔσονται. οὐκ ἔστι δὲ ἄλλος ὁ τόπος τοῦ μορίου, ἐν ᾧ κινεῖται, ὅταν ὅλον τὸ ἀγγεῖον μεθίστηται, ἀλλ' ὁ αὐτός· ἐν ᾧ γὰρ ἔστιν, ἀντιμεθίσταται ὁ ἀὴρ καὶ τὸ ὕδωρ ἢ τὰ μόρια τοῦ ὕδατος, ἀλλ' οὐκ ἐν ᾧ γίγνονται τόπῳ[17], ὃς μέρος ἐστὶ τοῦ τόπου ὃς ἐστι τόπος ὅλου τοῦ οὐρανοῦ. καὶ ἡ ὕλη δὲ δόξειεν ἂν εἶναι τόπος, εἴ γε ἐν ἠρεμοῦντί τις σκοποίη καὶ μὴ κεχωρισμένῳ ἀλλὰ συνεχεῖ[18]. ὥσπερ γὰρ εἰ ἀλλοιοῦται, ἔστι τι ὃ νῦν μὲν λευκὸν πάλαι δὲ μέλαν, καὶ νῦν μὲν σκληρὸν πάλαι δὲ μαλακόν (διό φαμεν εἶναί τι τὴν ὕλην), οὕτω καὶ ὁ τόπος διὰ τοιαύτης τινὸς εἶναι[19] δοκεῖ φαντασίας, πλὴν ἐκεῖνο[20] μὲν διότι ὃ ἦν ἀήρ, τοῦτο νῦν ὕδωρ, ὁ δὲ τόπος ὅτι οὗ ἦν ἀήρ, ἐνταῦθ' ἔστι νῦν ὕδωρ. ἀλλ' ἡ μὲν ὕλη, ὥσπερ ἐλέχθη ἐν τοῖς πρότερον, οὔτε χωριστὴ τοῦ πράγματος οὔτε περιέχει, ὁ δὲ τόπος ἄμφω.

1. *Assume*. 2. Adverb. 3. Obj. of περιέχον. 4. *No part*. 5. Sc. τόπον. 6. Sc. τοῦ πράγματος. 7. *Each thing* (gen. of separation). 8. Obj. of ποιεῖν. 9. *An interval between the extremities of the container* (Ross). 10. Supply pred. nom. ὁ τόπος. 11. Place and form. 12. Sc. πέρας ἐστίν. 13. τὸ περιεχόμενον καὶ διῃρημένον (*that which is contained and separate*) is the subj. of μεταβάλλειν. 14. τὸ μεταξὺ διάστημα is the subj. 15. *Falls into the vacated place*. 16. *To fit the container*. 17. ἐν ᾧ γίγνονται τόπῳ = ἐν τούτῳ τῷ τόπῳ ἐν ᾧ γίγνονται. 18. *In unbroken contact* (Ross). 19. *To exist*. 20. Matter.

Εἰ τοίνυν μηδὲν τῶν τριῶν ὁ τόπος ἐστίν, μήτε τὸ εἶδος μήτε ἡ ὕλη μήτε διάστημά τι ἀεὶ ὑπάρχον ἕτερον παρὰ τὸ[1] τοῦ πράγματος τοῦ μεθισταμένου, ἀνάγκη τὸν τόπον εἶναι τὸ λοιπὸν τῶν τεττάρων, τὸ πέρας τοῦ περιέχοντος σώματος καθ' ὃ συνάπτει τῷ περιεχομένῳ. . . . ἔστι δ' ὥσπερ τὸ ἀγγεῖον τόπος μεταφορητός, οὕτως καὶ ὁ τόπος ἀγγεῖον ἀμετακίνητον. διὸ ὅταν μὲν ἐν κινουμένῳ κινῆται καὶ μεταβάλλῃ τὸ ἐντός[2], οἷον ἐν ποταμῷ πλοῖον, ὡς ἀγγείῳ χρῆται μᾶλλον ἢ τόπῳ τῷ περιέχοντι[3]. βούλεται[4] δ' ἀκίνητος εἶναι ὁ τόπος· διὸ ὁ πᾶς μᾶλλον ποταμὸς τόπος, ὅτι ἀκίνητος ὁ πᾶς. ὥστε τὸ τοῦ περιέχοντος πέρας ἀκίνητον πρῶτον[5], τοῦτ' ἔστιν ὁ τόπος.

Physica iv. 208b1-22, 27-29, 209a2-22, 209a29-b11, 209b21-33, 210b32-211a6, 211b5-212a6, 212a14-21.

1. Sc. διάστημα. 2. Nom. 3. Dat. with χρῆται. 4. *Tends*. 5. i.e. *innermost*.

LXII. THE VOID

348. There is no void in the ordinary sense of the term.

Τὸν αὐτὸν δὲ τρόπον ὑποληπτέον εἶναι τοῦ φυσικοῦ θεωρῆσαι καὶ περὶ κενοῦ, εἰ ἔστιν ἢ μή, καὶ πῶς ἔστι, καὶ τί ἐστιν, ὥσπερ καὶ περὶ τόπου. . . . οἷον γὰρ τόπον τινὰ καὶ ἀγγεῖον τὸ κενὸν τιθέᾶσιν οἱ λέγοντες, δοκεῖ δὲ πλῆρες μὲν εἶναι, ὅταν ἔχῃ τὸν ὄγκον οὗ δεκτικόν ἐστιν, ὅταν δὲ στερηθῇ, κενόν, ὡς τὸ αὐτὸ μὲν ὂν [1] κενὸν καὶ πλῆρες καὶ τόπον, τὸ δ' εἶναι αὐτοῖς οὐ ταὐτὸ ὄν [1].

Δοκεῖ δὴ τὸ κενὸν τόπος εἶναι ἐν ᾧ μηδέν ἐστι. τούτου δ' αἴτιον ὅτι τὸ ὂν σῶμα οἴονται εἶναι, πᾶν δὲ σῶμα ἐν τόπῳ, κενὸν δὲ ἐν ᾧ τόπῳ [2] μηδέν ἐστι σῶμα ὥστ' εἴ που μὴ ἔστι σῶμα, οὐδὲν εἶναι ἐνταῦθα.

Ἐπεὶ δὲ περὶ τόπου διώρισται, καὶ τὸ κενὸν ἀνάγκη τόπον εἶναι, εἰ ἔστιν [3], ἐστερημένον σώματος, τόπος δὲ καὶ πῶς ἔστι καὶ πῶς οὐκ ἔστιν εἴρηται, φανερὸν ὅτι οὕτω [4] μὲν κενὸν οὐκ ἔστιν, οὔτε κεχωρισμένον οὔτε ἀχώριστον [5]. τὸ γὰρ κενὸν οὐ σῶμα ἀλλὰ σώματος διάστημα [6] βούλεται εἶναι [7]· διὸ καὶ τὸ κενὸν δοκεῖ τι εἶναι, ὅτι καὶ ὁ τόπος, καὶ διὰ ταὐτά.

Ἐκ δὴ τῶν εἰρημένων φανερὸν ὡς οὔτ' ἀποκεκριμένον κενὸν ἔστιν (οὔθ' ἁπλῶς οὔτ' ἐν τῷ μανῷ) οὔτε δυνάμει, εἰ μή τις βούλεται πάντως καλεῖν κενὸν τὸ αἴτιον τοῦ φέρεσθαι. οὕτω δ' ἡ τοῦ βαρέος καὶ κούφου ὕλη, ᾗ τοιαύτη, εἴη ἂν τὸ κενόν· τὸ γὰρ πυκνόν καὶ τὸ μανὸν κατὰ ταύτην τὴν ἐναντίωσιν [8] φορᾶς ποιητικά, κατὰ δὲ τὸ σκληρὸν καὶ μαλακὸν πάθους καὶ ἀπαθείᾶς, καὶ οὐ φορᾶς ἀλλ' ἑτεροιώσεως μᾶλλον. καὶ περὶ μὲν κενοῦ, πῶς ἔστι καὶ πῶς οὐκ ἔστι, διωρίσθω τὸν τρόπον τοῦτον.

Physica iv. 213a12-14, 15-19, 213b31-34, 214a16-22, 217b20-28.

1. Acc. abs. 2. ἐν ᾧ τόπῳ = τόπον ἐν ᾧ. 3. *If there is such a thing as void.* 4. *As a place deprived of body* (Ross). 5. "κενὸν κεχωρισμένον = a self-subsistent void, some of which . . . never has body in it." "κενὸν ἀχώριστον = a self-subsistent interval always in fact filled with body." (Ross.) 6. *An intermission of body* (Ross). 7. βούλεται εἶναι = *means.* 8. The contrariety of heavy and light (Ross).

LXIII. TIME

349. Time is not change or movement, for (1) change or movement is only *in* the thing or *where* the thing is, and (2) change or movement is always faster or slower. Yet, since we perceive movement and time together, time must in some way *pertain to* movement; time is the number of movement in respect of the before and after. Though time is greater than everything *in* time, it does not include things that exist eternally. Of the four kinds of changes—changes of substance, of quality, of quantity, and of place—only in the last is there found a change that always goes on at a regular rate: the circular motion of the heavenly bodies is invariable.

Ἐπεὶ δὲ δοκεῖ μάλιστα κίνησις εἶναι καὶ μεταβολή τις ὁ χρόνος, τοῦτ' ἂν εἴη σκεπτέον. ἡ μὲν οὖν ἑκάστου μεταβολὴ καὶ κίνησις ἐν αὐτῷ τῷ μεταβάλλοντι μόνον ἐστίν, ᾗ οὗ ἂν τύχῃ ὂν αὐτὸ τό κινούμενον καὶ μεταβάλλον· ὁ δὲ χρόνος ὁμοίως καὶ πανταχοῦ καὶ παρὰ πᾶσιν. ἔτι δὲ μεταβολὴ μέν ἐστι θᾶττων καὶ βραδυτέρᾱ, χρόνος δ' οὐκ ἔστιν· τὸ γὰρ βραδὺ καὶ ταχὺ χρόνῳ ὥρισται, ταχὺ μὲν τὸ ἐν ὀλίγῳ πολὺ κινούμενον, βραδὺ δὲ τὸ ἐν πολλῷ ὀλίγον· ὁ δὲ χρόνος οὐχ ὥρισται χρόνῳ, οὔτε τῷ ποσός τις εἶναι οὔτε τῷ ποιός. ὅτι μὲν τοίνυν οὐκ ἔστιν κίνησις, φανερόν· μηδὲν δὲ διαφερέτω λέγειν ἡμῖν ἐν τῷ παρόντι κίνησιν ἢ μεταβολήν.

Ὅτι μὲν οὖν οὔτε κίνησις οὔτ' ἄνευ κινήσεως ὁ χρόνος ἐστί, φανερόν· ληπτέον δέ, ἐπεὶ ζητοῦμεν τί ἐστιν ὁ χρόνος, ἐντεῦθεν ἀρχομένοις, τί τῆς κινήσεώς [1] ἐστιν. ἅμα γὰρ κινήσεως αἰσθανόμεθα καὶ χρόνου· καὶ γὰρ ἐὰν ᾖ σκότος καὶ μηδὲν διὰ τοῦ σώματος πάσχωμεν, κίνησις δέ τις ἐν τῇ ψῡχῇ ἐνῇ, εὐθὺς ἅμα δοκεῖ τις γεγονέναι καὶ χρόνος. ἀλλὰ μὴν καὶ ὅταν γε χρόνος δοκῇ γεγονέναι τις, ἅμα καὶ κίνησίς τις δοκεῖ γεγονέναι. ὥστε ἤτοι κίνησις ἢ τῆς κινήσεώς τί ἐστιν ὁ χρόνος. ἐπεὶ οὖν οὐ κίνησις, ἀνάγκη τῆς κινήσεώς τι εἶναι αὐτόν.

Οὐκ ἄρα κίνησις ὁ χρόνος ἀλλ' ᾗ ἀριθμὸν ἔχει ἡ κίνησις [2]. σημεῖον δέ· τὸ μὲν γὰρ πλεῖον καὶ ἔλᾱττον κρίνομεν ἀριθμῷ, κίνησιν δὲ πλείω καὶ ἐλᾱττω χρόνῳ· ἀριθμὸς ἄρα τις ὁ χρόνος. ἐπεὶ δ' ἀριθμός ἐστι διχῶς (καὶ γὰρ τὸ ἀριθμούμενον καὶ τὸ ἀριθμητὸν ἀριθμὸν λέγομεν, καὶ ᾧ [3] ἀριθμοῦμεν), ὁ δὴ

1. Part. gen. with τί. 2. *But the aspect of movement in respect of which it is numerable* (Ross). 3. ᾧ = τοῦτο ᾧ.

χρόνος ἐστὶν τὸ ἀριθμούμενον καὶ οὐχ ᾧ ἀριθμοῦμεν. ἔστι δ' ἕτερον ᾧ ἀριθμοῦμεν καὶ τὸ ἀριθμούμενον.

Ὅτι μὲν τοίνυν ὁ χρόνος ἀριθμός ἐστιν κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερον, καὶ συνεχής (συνεχοῦς γάρ [1]), φανερόν.

Ἐπεὶ δέ ἐστιν ὡς ἐν ἀριθμῷ τὸ ἐν χρόνῳ [2], ληφθήσεταί [3] τις πλείων χρόνος παντὸς τοῦ ἐν χρόνῳ ὄντος· διὸ ἀνάγκη πάντα τὰ ἐν χρόνῳ ὄντα περιέχεσθαι ὑπὸ χρόνου, ὥσπερ καὶ τἆλλα ὅσα ἕν τινί ἐστιν, οἷον τὰ ἐν τόπῳ ὑπὸ τοῦ τόπου. καὶ πάσχει δή τι ὑπὸ τοῦ χρόνου, καθάπερ καὶ λέγειν εἰώθαμεν ὅτι κατατήκει ὁ χρόνος, καὶ γηράσκει πάνθ' ὑπὸ τοῦ χρόνου, καὶ ἐπιλανθάνεται διὰ τὸν χρόνον, ἀλλ' οὐ [4] μεμάθηκεν [5], οὐδὲ νέον γέγονεν [6] οὐδὲ καλόν· φθορᾶς γὰρ αἴτιος καθ' ἑαυτὸν μᾶλλον ὁ χρόνος· ἀριθμὸς [7] γὰρ κινήσεως, ἡ δὲ κίνησις ἐξίστησιν τὸ ὑπάρχον· ὥστε φανερὸν ὅτι τὰ αἰεὶ ὄντα, ᾗ αἰεὶ ὄντα, οὐκ ἔστιν ἐν χρόνῳ· οὐ γὰρ περιέχεται ὑπὸ χρόνου, οὐδὲ μετρεῖται τὸ εἶναι αὐτῶν ὑπὸ τοῦ χρόνου· σημεῖον δὲ τούτου ὅτι οὐδὲ πάσχει οὐδὲν [8] ὑπὸ τοῦ χρόνου ὡς οὐκ ὄντα ἐν χρόνῳ.

Ἀπορήσειε δ' ἄν τις καὶ ποίας κινήσεως ὁ χρόνος ἀριθμός. ἢ [9] ὁποιᾶσοῦν; καὶ γὰρ γίγνεται [10] ἐν χρόνῳ καὶ φθείρεται καὶ αὐξάνεται καὶ ἀλλοιοῦται καὶ φέρεται· ᾗ οὖν κίνησίς ἐστι [11], ταύτῃ ἐστὶν ἑκάστης κινήσεως ἀριθμός. διὸ κινήσεώς ἐστιν ἁπλῶς ἀριθμὸς συνεχοῦς, ἀλλ' οὐ τινός [12].

Ἀλλοίωσις μὲν οὖν οὐδὲ [13] αὔξησις οὐδὲ γένεσις οὐκ εἰσὶν ὁμαλεῖς [14], φορὰ δ' ἔστιν [15]. διὸ καὶ δοκεῖ ὁ χρόνος εἶναι ἡ τῆς σφαίρας κίνησις, ὅτι ταύτῃ μετροῦνται αἱ ἄλλαι κινήσεις καὶ ὁ χρόνος ταύτῃ τῇ κινήσει.

Physica iv. 218b9-20, 219a1-10, 219b2-9, 220a24-26, 221a26-b7, 223a29-b1, 223b20-23.

---

1. *Since it is an attribute of what is continuous* (Hardie). 2. *Since what is "in time" is so in the same sense as what is in number is so* (Hardie). 3. *Can be taken*, i.e. *considered*. 4. We should expect not οὐ but οὐχ ὅτι. 5. Sc. τὶς. 6. Sc. τὶ as subj. 7. Pred. nom. 8. *That they do not suffer anything either*. 9. *Or should we not say*. 10. Supply an indef. subj., *things*. 11. Supply as subj. ἡ κίνησις. 12. *Not of any particular kind of it* (Hardie). 13. οὐδέ negatives ἀλλοίωσις as well as αὔξησις. 14 *Not regular*, because from an opposite to an opposite. 15. *There is such a thing as regular motion*, viz. rotatory motion.

LXIV. CONTINUITY

350. No continuous thing can be composed of indivisibles: a line is not composed of points; a time is not composed of moments; a movement is not composed of indivisible movements.

Εἰ δ' ἐστὶ συνεχὲς καὶ ἁπτόμενον καὶ ἐφεξῆς [1], ὡς διώρισται πρότερον, συνεχῆ μὲν ὧν τὰ ἔσχατα ἕν, ἁπτόμενα δ' ὧν [2] ἅμα, ἐφεξῆς δ' ὧν μηδὲν μεταξὺ συγγενές, ἀδύνατον ἐξ ἀδιαιρέτων εἶναί τι συνεχές, οἷον γραμμὴν ἐκ στιγμῶν, εἴπερ ἡ γραμμὴ μὲν συνεχές, ἡ στιγμὴ δὲ ἀδιαίρετον. οὔτε γὰρ ἓν τὰ ἔσχατα τῶν στιγμῶν (οὐ γάρ ἐστι τὸ μὲν ἔσχατον τὸ δ' ἄλλο τι μόριον τοῦ ἀδιαιρέτου), οὔθ' ἅμα τὰ ἔσχατα (οὐ γάρ ἐστιν ἔσχατον τοῦ ἀμεροῦς οὐδέν· ἕτερον γὰρ τὸ ἔσχατον καὶ οὗ [3] ἔσχατον). ἔτι δ' ἀνάγκη ἤτοι συνεχεῖς εἶναι τὰς στιγμὰς ἢ ἁπτομένας ἀλλήλων, ἐξ ὧν ἐστι τὸ συνεχές [4]· ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ πάντων τῶν ἀδιαιρέτων. συνεχεῖς μὲν δὴ οὐκ ἂν εἶεν διὰ τὸν εἰρημένον λόγον· ἅπτεται δ' ἅπαν ἢ ὅλον ὅλου ἢ μέρος μέρους ἢ ὅλου μέρος. ἐπεὶ δ' ἀμερὲς τὸ ἀδιαίρετον, ἀνάγκη ὅλον ὅλου ἅπτεσθαι. ὅλον δ' ὅλου ἁπτόμενον οὐκ ἔσται συνεχές. τὸ γὰρ συνεχὲς ἔχει τὸ [5] μὲν ἄλλο τὸ [5] δ' ἄλλο μέρος, καὶ διαιρεῖται εἰς οὕτως ἕτερα καὶ τόπῳ κεχωρισμένα. ἀλλὰ μὴν οὐδὲ ἐφεξῆς ἔσται στιγμὴ στιγμῇ ἢ τὸ νῦν τῷ νῦν, ὥστ' ἐκ τούτων εἶναι τὸ μῆκος ἢ τὸν χρόνον· ἐφεξῆς μὲν γάρ ἐστιν ᾧ μηθέν ἐστι μεταξὺ συγγενές, στιγμῶν δ' αἰεὶ [6] μεταξὺ γραμμὴ καὶ τῶν νῦν χρόνος. ἔτι [7] διαιροῖτ' ἂν εἰς ἀδιαίρετα, εἴπερ ἐξ ὧν ἐστιν ἑκάτερον [8], εἰς ταῦτα διαιρεῖται· ἀλλ' οὐθὲν ἦν [9] τῶν συνεχῶν εἰς ἀμερῆ διαιρετόν. ἄλλο δὲ γένος οὐχ οἷόν τ' εἶναι μεταξύ. ἢ γὰρ ἀδιαίρετον ἔσται ἢ διαιρετόν, καὶ εἰ διαιρετόν, ἢ εἰς ἀδιαίρετα ἢ εἰς ἀεὶ διαιρετά· τοῦτο δὲ συνεχές. φανερὸν δὲ καὶ ὅτι πᾶν συνεχὲς διαιρετὸν [10] εἰς αἰεὶ διαιρετά· εἰ γὰρ εἰς ἀδιαίρετα, ἔσται ἀδιαίρετον ἀδιαιρέτου ἁπτόμενον, ἐν γὰρ τὸ ἔσχατον καὶ ἅπτεται τῶν συνεχῶν [11]. τοῦ δ' αὐτοῦ λόγου [12] μέγεθος καὶ χρόνον καὶ κίνησιν ἐξ ἀδιαιρέτων συγκεῖσθαι, καὶ διαιρεῖσθαι εἰς ἀδιαίρετα, ἢ μηθέν [13].

Physica vi. 231a21-b20.

---

1. Subj. nominatives; the predicates begin with ὧν. 2. Sc. τὰ ἔσχατα. 3. οὗ = τοῦτο οὗ. 4. τὰς στιγμὰς ἐξ ὧν ἐστὶ τὸ συνεχές: there are of course no such points. 5. τὸ . . . τὸ . . . μέρος: obj. accusatives. ἄλλο . . . ἄλλο: tertiary predicates. 6. αἰεὶ γραμμή is the pred. 7. Sc. if length and time were composed of successive indivisibles (Ross). 8. Length and time. 9. Philosophic impf.: *is, as we saw*. 10. Pred. adj. 11. *The extremities of things that are continuous with one another are one and are in contact* (Hardie). 12. Pred. gen.; sc. ἐστί. 13. *None*; sc. of the three; μηθέν is grammatically parallel with μέγεθος καὶ χρόνον καὶ κίνησιν.

LXV. THE PRIME MOVER

351. Since time, which is eternal, is an attribute of motion, motion also must be eternal. A thing in motion is moved by something else. The prime mover is at rest and is eternal; it has neither parts nor magnitude. (See 217: κίνησις.)

Ἀρξώμεθα δὲ πρῶτον ἐκ τῶν διωρισμένων ἡμῖν ἐν τοῖς φυσικοῖς [1] πρότερον. φαμὲν δὴ τὴν κίνησιν εἶναι ἐνέργειαν τοῦ κινητοῦ ᾗ κινητόν. ἀναγκαῖον ἄρα ὑπάρχειν τὰ πράγματα τὰ δυνάμενα κινεῖσθαι καθ' ἑκάστην κίνησιν. καὶ χωρὶς δὲ τοῦ τῆς κινήσεως ὁρισμοῦ, πᾶς ἂν ὁμολογήσειεν ἀναγκαῖον εἶναι κινεῖσθαι τὸ δυνατὸν κινεῖσθαι καθ' ἑκάστην κίνησιν, οἷον ἀλλοιοῦσθαι μὲν τὸ ἀλλοιωτόν, φέρεσθαι δὲ τὸ κατὰ τόπον μεταβλητόν, ὥστε δεῖ πρότερον καυστὸν εἶναι πρὶν κάεσθαι καὶ καυστικὸν πρὶν κάειν. οὐκοῦν καὶ ταῦτα ἀναγκαῖον ἢ γενέσθαι ποτὲ οὐκ ὄντα ἢ ἀΐδια εἶναι. εἰ μὲν τοίνυν ἐγένετο [2] τῶν κινητῶν ἕκαστον, ἀναγκαῖον πρότερον τῆς ληφθείσης [3] ἄλλην γενέσθαι μεταβολὴν καὶ κίνησιν, καθ' ἣν ἐγένετο τὸ δυνατὸν κινηθῆναι ἢ κινῆσαι· εἰ δ' ὄντα προϋπῆρχεν ἀεὶ κινήσεως μὴ οὔσης, ἄλογον μὲν φαίνεται. . . . εἰ γὰρ τῶν μὲν κινητῶν ὄντων τῶν δὲ κινητικῶν ὁτὲ μὲν ἔσται τι πρῶτον κινοῦν, τὸ δὲ κινούμενον, ὁτὲ δ' οὐθέν, ἀλλ' ἠρεμεῖ, ἀναγκαῖον τοῦτο [4] μεταβάλλειν πρότερον· ἦν γάρ τι αἴτιον τῆς ἠρεμίας· ἡ γὰρ ἠρέμησις στέρησις κινήσεως [5].

Πρὸς δὲ τούτοις τὸ πρότερον καὶ ὕστερον πῶς ἔσται χρόνου μὴ ὄντος; ἢ χρόνος μὴ οὔσης κινήσεως; εἰ δή ἐστιν ὁ χρόνος κινήσεως ἀριθμὸς ἢ κίνησίς τις, εἴπερ ἀεὶ χρόνος ἔστιν, ἀνάγκη καὶ κίνησιν ἀΐδιον εἶναι. . . . εἰ οὖν ἀδύνατόν ἐστιν καὶ εἶναι καὶ νοῆσαι χρόνον ἄνευ τοῦ νῦν, τὸ δὲ νῦν ἐστι μεσότης τις, καὶ ἀρχὴν καὶ τελευτὴν ἔχον ἅμα, ἀρχὴν μὲν τοῦ ἐσομένου χρόνου, τελευτὴν δὲ τοῦ παρελθόντος, ἀνάγκη ἀεὶ εἶναι χρόνον. τὸ γὰρ ἔσχατον τοῦ τελευταίου ληφθέντος χρόνου ἕν τινι τῶν νῦν ἔσται (οὐδὲν γὰρ ἔστι λαβεῖν ἐν τῷ χρόνῳ παρὰ τὸ νῦν), ὥστ' ἐπεί ἐστιν ἀρχή τε καὶ τελευτὴ τὸ νῦν, ἀνάγκη αὐτοῦ ἐπ' ἀμφότερα [6] εἶναι ἀεὶ χρόνον. ἀλλὰ μὴν εἴ γε χρόνον [7], φανερὸν ὅτι ἀνάγκη εἶναι καὶ κίνησιν, εἴπερ ὁ χρόνος πάθος τι κινήσεως.

1. The title τὰ Φυσικὰ refers to Books i-iv only. 2. *Came into being*: emphatic, as shown by the position. 3. Sc. κινήσεως. 4. τοῦτο refers to the thing that was at rest (ἠρεμεῖ). 5. "With these words we must understand 'and there must have been a change consisting in the removal of this αἴτιον τῆς ἠρεμίας'." (Ross.) 6. *On both sides of it* (Hardie). 7. Sc. ἀνάγκη αὐτοῦ ἐπ' ἀμφότερα εἶναι ἀεί.

Τῶν δὴ κινούντων καὶ κινουμένων τὰ μὲν κατὰ συμβεβηκὸς κινεῖ καὶ κινεῖται, τὰ δὲ καθ' αὑτά, κατὰ συμβεβηκὸς μὲν οἷον ὅσα τε [1] τῷ ὑπάρχειν [2] τοῖς κινοῦσιν ἢ κινουμένοις καὶ τὰ κατὰ μόριον [3], τὰ δὲ καθ' αὑτά [4], ὅσα [5] μὴ τῷ ὑπάρχειν τῷ κινοῦντι ἢ τῷ κινουμένῳ, μηδὲ τῷ μόριόν τι αὐτῶν κινεῖν ἢ κινεῖσθαι. τῶν δὲ καθ' αὑτὰ [6] τὰ μὲν ὑφ' ἑαυτοῦ τὰ δ' ὑπ' ἄλλου, καὶ τὰ μὲν φύσει τὰ δὲ βίᾳ καὶ παρὰ φύσιν. τό τε γὰρ αὐτὸ ὑφ' αὑτοῦ κινούμενον φύσει κινεῖται, οἷον ἕκαστον τῶν ζῴων (κινεῖται γὰρ τὸ ζῷον αὐτὸ ὑφ' αὑτοῦ, ὅσων δ' ἡ ἀρχὴ ἐν αὐτοῖς τῆς κινήσεως [7], ταῦτα φύσει φαμὲν κινεῖσθαι· διὸ μὲν τὸ ζῷον ὅλον φύσει αὐτὸ ἑαυτὸ κινεῖ, τὸ μέντοι σῶμα ἐνδέχεται καὶ φύσει καὶ παρὰ φύσιν κινεῖσθαι· διαφέρει γὰρ ὁποίᾳν τε ἂν κίνησιν [8] κινούμενον τύχῃ καὶ ἐκ ποίου στοιχείου συνεστηκός), καὶ τῶν ὑπ' ἄλλου κινουμένων τὰ μὲν φύσει κινεῖται τὰ δὲ παρὰ φύσιν, παρὰ φύσιν μὲν οἷον τὰ γεηρὰ ἄνω καὶ τὸ πῦρ κάτω, ἔτι δὲ τὰ μόρια τῶν ζῴων πολλάκις κινεῖται παρὰ φύσιν, παρὰ τὰς θέσεις [9] καὶ τοὺς τρόπους [10] τῆς κινήσεως.

Οὐκ ἄρα ἀνάγκη ἀεὶ κινεῖσθαι τὸ κινούμενον ὑπ' ἄλλου [11], καὶ [12] τούτου κινουμένου· στήσεται [13] ἄρα. ὥστε ἤτοι ὑπὸ ἠρεμοῦντος κινήσεται [14] τὸ κινούμενον πρῶτον, ἢ αὐτὸ ἑαυτὸ κινήσει.

Φανερὸν τοίνυν ἐκ τούτων ὅτι ἔστιν τὸ πρώτως κινοῦν ἀκίνητον· εἴτε γὰρ εὐθὺς ἵσταται τὸ κινούμενον, ὑπό τινος δὲ κινούμενον, εἰς [15] ἀκίνητον τὸ πρῶτον, εἴτε εἰς κινούμενον μέν, αὐτὸ δ' αὑτὸ κινοῦν καὶ ἱστάν, ἀμφοτέρως συμβαίνει τὸ πρώτως κινοῦν ἅπασιν εἶναι τοῖς κινουμένοις ἀκίνητον [16].

Εἴπερ οὖν ἀΐδιος ἡ κίνησις, ἀΐδιον καὶ τὸ κινοῦν ἔσται πρῶτον, εἰ ἕν· εἰ δὲ πλείω, πλείω τὰ ἀΐδια. ἓν δὲ μᾶλλον ἢ πολλά, καὶ πεπερασμένα ἢ [17] ἄπειρα, δεῖ νομίζειν. τῶν αὐτῶν γὰρ συμβαινόντων [18] αἰεὶ τὰ πεπερασμένα μᾶλλον [19] ληπτέον· ἐν γὰρ τοῖς φύσει δεῖ τὸ πεπερασμένον καὶ τὸ βέλτιον, ἂν ἐνδέχηται, ὑπάρχειν μᾶλλον. ἱκανὸν δὲ [20] καὶ ἕν [21], ὃ πρῶτον τῶν ἀκινήτων ἀΐδιον ὂν ἔσται ἀρχὴ τοῖς ἄλλοις κινήσεως [22].

1. Sc. κινεῖ καὶ κινεῖται. 2. Dat. of manner. 3. Sc. κινοῦντα καὶ κινούμενα. 4. Instead of τὰ δὲ καθ' αὑτά we should expect καθ' αὑτὰ δέ. 5. Sc. κινεῖ καὶ κινεῖται. 6. Sc. κινούντων καὶ κινουμένων. 7. Gen. with ἀρχή. 8. Cogn. acc. with κινούμενον. 9. "e.g. when a man walks on his hands." (Ross.) 10. "e.g. when he rolls along the ground instead of walking." (Ross.) 11. ὑπ' ἄλλου depends on κινεῖσθαι. 12. *Also.* 13. *There will be an end to the series* (Hardie). 14. Fut. mid. used as pass. 15. ἵσταται εἰς: lit. *stops into*; i.e., as one goes back over the series of causes, searching for a prior and a still prior cause, one comes presently to the first member of the series and finds that it is itself unmoved. 16. *For whether that which is moved but is moved by something else leads straight to the first unmoved mover or whether it leads to something which is indeed in motion but which moves itself and stops itself, in either event the result is that, in the case of all things that are in motion, that which primarily causes motion is unmoved.* 17. ἢ = μᾶλλον ἤ. 18. *When the consequences of either assumption are the same* (Hardie). 19. Sc. ἢ τὰ ἄπειρα. 20. Sc. λαβεῖν. 21. *Even one*, i. e. one only. 22. Gen. with ἀρχή.

Διωρισμένων δὲ τούτων φανερὸν ὅτι ἀδύνατον τὸ πρῶτον κινοῦν καὶ ἀκίνητον ἔχειν τι μέγεθος. εἰ γὰρ μέγεθος ἔχει, ἀνάγκη ἤτοι πεπερασμένον αὐτὸ εἶναι ἢ ἄπειρον. ἄπειρον μὲν οὖν ὅτι οὐκ ἐνδέχεται μέγεθος εἶναι, δέδεικται πρότερον ἐν τοῖς φυσικοῖς· ὅτι δὲ τὸ πεπερασμένον [1] ἀδύνατον ἔχειν δύναμιν ἄπειρον, καὶ ὅτι ἀδύνατον ὑπὸ πεπερασμένου κινεῖσθαί τι ἄπειρον χρόνον, δέδεικται νῦν. τὸ δέ γε [2] πρῶτον κινοῦν ἀΐδιον κινεῖ κίνησιν καὶ ἄπειρον χρόνον. φανερὸν τοίνυν ὅτι ἀδιαίρετόν ἐστι καὶ ἀμερὲς καὶ οὐδὲν ἔχον μέγεθος.

Physica viii. 251a8-21, 23-27, 251b10-13, 19-28, 254b7-24, 257a25-27, 258b4-9, 259a6-13, 267b17-26.

1. *A finite magnitude.* 2. γέ emphasises the adversative δέ.

LXVI. THE SOUL

352. "Substance" is used in three senses: matter, form or essence, and that which is compounded of the two (e.g. a natural body that has life in it). Soul is the first actuality of a natural body potentially having life; if the eye were an animal, sight would be its soul. The soul of a plant is nutritive; of an animal, nutritive and sensitive; of a man, nutritive, sensitive, and rational.

Τὰ μὲν δὴ ὑπὸ τῶν πρότερον παραδεδομένα περὶ ψυχῆς εἰρήσθω· πάλιν δ' ὥσπερ ἐξ ὑπαρχῆς ἐπανίωμεν, πειρώμενοι διορίσαι τί ἐστι ψυχὴ καὶ τίς ἂν εἴη κοινότατος λόγος αὐτῆς. λέγομεν δὴ γένος ἕν τι τῶν ὄντων τὴν οὐσίαν [1], ταύτης δὲ τὸ μὲν ὡς ὕλην, ὃ καθ' αὑτὸ μὲν οὐκ ἔστι τόδε τι [2], ἕτερον δὲ μορφὴν καὶ εἶδος [3], καθ' ἣν ἤδη [4] λέγεται τόδε τι, καὶ τρίτον τὸ ἐκ τούτων. ἔστι δ' ἡ μὲν ὕλη δύναμις, τὸ δ' εἶδος ἐντελέχεια (καὶ τοῦτο διχῶς, τὸ μὲν ὡς ἐπιστήμη, τὸ δ' ὡς τὸ θεωρεῖν). οὐσίαι δὲ μάλιστ' εἶναι δοκοῦσι τὰ σώματα, καὶ τούτων τὰ φυσικά· ταῦτα γὰρ τῶν ἄλλων ἀρχαί. τῶν δὲ φυσικῶν τὰ μὲν ἔχει ζωήν, τὰ δ' οὐκ ἔχει· ζωὴν δὲ λέγομεν τὴν δι' αὑτοῦ [5] τροφήν τε καὶ αὔξησιν καὶ φθίσιν. ὥστε πᾶν σῶμα φυσικὸν μετέχον ζωῆς οὐσία ἂν εἴη, οὐσία δ' οὕτως ὡς συνθέτη [6]. ἐπεὶ δ' ἐστὶ καὶ σῶμα τοιόνδε [7], ζωὴν γὰρ ἔχον, οὐκ ἂν εἴη τὸ σῶμα ἡ ψυχή· οὐ γάρ ἐστι τῶν καθ' ὑποκειμένου [8] τὸ σῶμα, μᾶλλον δ' ὡς ὑποκείμενον καὶ [9] ὕλη. ἀναγκαῖον ἄρα τὴν ψυχὴν οὐσίαν εἶναι ὡς εἶδος σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος. ἡ δ' οὐσία ἐντελέχεια [10]. τοιούτου ἄρα σώματος ἐντελέχεια [11]. αὕτη δὲ λέγεται διχῶς, ἡ μὲν ὡς ἐπιστήμη, ἡ δ' ὡς τὸ θεωρεῖν. φανερὸν οὖν ὅτι ὡς ἐπιστήμη· ἐν γὰρ τῷ ὑπάρχειν τὴν ψυχὴν καὶ ὕπνος καὶ ἐγρήγορσίς ἐστιν [12], ἀνάλογον δ' ἡ μὲν ἐγρήγορσις τῷ θεωρεῖν, ὁ δ' ὕπνος τῷ ἔχειν καὶ μὴ ἐνεργεῖν· προτέρᾳ δὲ τῇ γενέσει ἐπὶ τοῦ αὐτοῦ [13] ἡ ἐπιστήμη. διὸ ἡ ψυχή ἐστιν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος. τοιοῦτο [14] δέ, ὃ ἂν ᾖ ὀργανικόν. ὄργανα δὲ καὶ τὰ τῶν φυτῶν μέρη, ἀλλὰ παντελῶς ἁπλᾶ, οἷον τὸ φύλλον περικαρπίου σκέπασμα, τὸ δὲ περικάρπιον καρποῦ· αἱ δὲ ῥίζαι τῷ στόματι ἀνάλογον· ἄμφω γὰρ

1. Pred. acc. 2. τόδε τι = *a determinate something* (Hicks). 3. καὶ εἶδος: i.e. *form*. This is merely explanatory of μορφή; note the fem. ἥν. 4. *At once.* 5. *By the self.* 6. *Compounded* of matter and form (Hicks). 7. *But since it is also a* body *of such and such a kind* (Smith). 8. Sc. λεγομένων: *of the attributes of a subject* (partit. gen. in pred.). 9. *i.e.* 10. *But substance in this sense is actuality* (in the sense of form). 11. Sc. ἐστὶν ἡ ψυχή 12. *Both sleeping and waking presuppose the existence of soul* (Smith). 13. *In the same individual.* 14. Pred. nom.

ἕλκει τὴν τροφήν. εἰ δή τι κοινὸν ἐπὶ πάσης ψῡχῆς δεῖ λέγειν, εἴη ἂν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ. διὸ καὶ οὐ δεῖ ζητεῖν εἰ ἓν ἡ ψῡχὴ καὶ τὸ σῶμα, ὥσπερ οὐδὲ τὸν κηρὸν καὶ τὸ σχῆμα [1], οὐδ' ὅλως τὴν ἑκάστου ὕλην καὶ τὸ οὗ ἡ ὕλη· τὸ γὰρ ἓν καὶ τὸ εἶναι ἐπεὶ πλεοναχῶς λέγεται, τὸ κυρίως ἡ ἐντελέχειά ἐστιν [2].

Καθόλου μὲν οὖν εἴρηται τί ἐστιν ἡ ψῡχή· οὐσίᾳ γὰρ ἡ κατὰ τὸν λόγον [3]. τοῦτο δὲ τὸ τί ἦν εἶναι [4] τῷ τοιῳδὶ σώματι, καθάπερ εἴ τι τῶν ὀργάνων φυσικὸν ἦν σῶμα, οἷον πέλεκυς· ἦν μὲν γὰρ ἂν τὸ πελέκει εἶναι [5] ἡ οὐσία [6] αὐτοῦ, καὶ ἡ ψῡχὴ τοῦτο [7]· χωρισθείσης δὲ ταύτης οὐκ ἂν ἔτι πέλεκυς ἦν, ἀλλ' ἢ ὁμωνύμως. νῦν [8] δ' ἐστὶ πέλεκυς· οὐ γὰρ τοιούτου σώματος τὸ τί ἦν εἶναι καὶ ὁ λόγος ἡ ψῡχή [9], ἀλλὰ φυσικοῦ τοιουδὶ ἔχοντος ἀρχὴν κῑνήσεως καὶ στάσεως ἐν ἑαυτῷ. θεωρεῖν δὲ καὶ ἐπὶ τῶν μερῶν δεῖ τὸ λεχθέν. εἰ γὰρ ἦν ὁ ὀφθαλμὸς ζῷον, ψῡχὴ ἂν ἦν αὐτοῦ ἡ ὄψις· αὕτη γὰρ οὐσία [10] ὀφθαλμοῦ ἡ κατὰ τὸν λόγον. ὁ δ' ὀφθαλμὸς ὕλη ὄψεως, ἧς ἀπολειπούσης οὐκέτ' ὀφθαλμός, πλὴν ὁμωνύμως, καθάπερ ὁ λίθινος καὶ ὁ γεγραμμένος.

Λέγομεν οὖν ἀρχὴν λαβόντες τῆς σκέψεως, διωρίσθαι τὸ ἔμψῡχον τοῦ ἀψῡχου τῷ ζῆν. πλεοναχῶς δὲ τοῦ ζῆν λεγομένου, κἂν ἕν τι τούτων ἐνυπάρχῃ μόνον, ζῆν αὐτό φαμεν, οἷον νοῦς, αἴσθησις, κῑνησις καὶ στάσις ἡ κατὰ τόπον, ἔτι κῑνησις ἡ κατὰ τροφὴν καὶ φθίσις τε καὶ αὔξησις. διὸ καὶ τὰ φῡόμενα [11] πάντα δοκεῖ ζῆν· φαίνεται γὰρ ἐν αὐτοῖς ἔχοντα δύναμιν καὶ ἀρχὴν τοιαύτην [12] δι' ἧς αὔξησίν τε καὶ φθίσιν λαμβάνουσι κατὰ τοὺς ἐναντίους τόπους [13]· οὐ γὰρ ἄνω μὲν αὔξεται κάτω δ' οὔ, ἀλλ' ὁμοίως ἐπ' ἄμφω καὶ πάντῃ, ὅσα ἀεὶ τρέφεταί τε καὶ ζῇ διὰ τέλους [14], ἕως ἂν δύνηται λαμβάνειν τροφήν. χωρίζεσθαι δὲ τοῦτο μὲν τῶν ἄλλων δυνατόν, τὰ δ' ἄλλα τούτου ἀδύνατον ἐν τοῖς θνητοῖς. φανερὸν δ' ἐπὶ τῶν φῡομένων· οὐδεμία γὰρ αὐτοῖς ὑπάρχει δύναμις ἄλλη ψῡχῆς. τὸ μὲν οὖν ζῆν διὰ τὴν ἀρχὴν ταύτην ὑπάρχει τοῖς ζῶσι, τὸ δὲ ζῷον διὰ τὴν αἴσθησιν πρώτως· καὶ γὰρ τὰ μὴ κῑνούμενα μηδ' ἀλλάττοντα τόπον, ἔχοντα δ' αἴσθησιν ζῷα λέγομεν καὶ οὐ ζῆν μόνον.

De Anima ii. 412a3-b22, 413a20-b4.

1. The acc. implies a proleptic construction: *to search into the wax and the shape to see whether.* 2. *Actuality is the meaning which belongs to them by the fullest right* (Hicks). With τὸ κῡρίως supply λεγόμενον. 3. *It is substance in the sense which corresponds to the definitive formula of a thing's essence* (Smith). 4. *The quiddity.* 5. *Its axeity* (Hicks). See 330. 6. Pred. nom. 7. τοῦτο: τὸ πελέκει εἶναι. 8. *As it is.* 9. *For it is not of a body of this kind that the soul is the quiddity, that is, the notion or form* (Hicks). 10. Pred. nom. 11. *Plants*; but τὰ ζῶντα comprises plants and animals. 12. τοιαύτην is defined only by the restrictive clause that follows. 13. *In opposite directions.* 14. *Continuously.*

LXVII. CHARMIDES DESIRES A CURE FOR THE HEADACHE

353. Socrates tells a friend the story of a conversation he had yesterday with Chaerephon, Critias, and Charmides.

Ἥκομεν τῇ προτεραίᾳ ἑσπέρας ἐκ Ποτειδαίας ἀπὸ τοῦ στρατοπέ- 153
δου, οἷον [1] δὲ διὰ χρόνου ἀφῑγμένος ἁσμένως ἦα ἐπὶ τὰς συνήθεις διατρι-
βάς. καὶ δὴ καὶ [2] εἰς τὴν Ταυρέου παλαίστρᾶν τὴν καταντικρῦ τοῦ τῆς
Βασίλης ἱεροῦ εἰσῆλθον, καὶ αὐτόθι κατέλαβον πάνυ πολλούς, τοὺς μὲν
καὶ [3] ἀγνῶτας ἐμοί, τοὺς δὲ πλείστους γνωρίμους. καί με ὡς εἶδον εἰσιόντα ἐξ b
ἀπροσδοκήτου, εὐθὺς πόρρωθεν ἠσπάζοντο ἄλλος ἄλλοθεν· Χαιρεφῶν
δέ, ἅτε καὶ μανικὸς ὤν, ἀναπηδήσας ἐκ μέσων ἔθει πρός με, καί μου [4]
λαβόμενος τῆς χειρός [4], Ὦ Σώκρατες, ἦ [5] δ' ὅς, πῶς ἐσώθης ἐκ τῆς μάχης;
Ὀλίγον δὲ πρὶν ἡμᾶς ἀπιέναι μάχη ἐγεγόνει ἐν τῇ Ποτειδαίᾳ, ἣν ἄρτι ἦσαν
οἱ τῇδε πεπυσμένοι.

Καὶ ἐγὼ πρὸς αὐτὸν ἀποκρῑνόμενος, Οὕτωσί, ἔφην, ὡς σὺ ὁρᾷς.

Καὶ μὴν ἤγγελταί [6] γε δεῦρο, ἔφη, ἥ τε μάχη πάνυ ἰσχῡρᾶ γεγονέναι
καὶ ἐν αὐτῇ πολλοὺς τῶν γνωρίμων τεθνάναι. c

Καὶ ἐπιεικῶς, ἦν δ' ἐγώ, ἀληθῆ ἀπήγγελται.

Παρεγένου μέν, ἦ δ' ὅς, τῇ μάχῃ;

Παρεγενόμην.

Δεῦρο δή, ἔφη, καθεζόμενος ἡμῖν διήγησαι· οὐ γάρ τί πω πάντα σαφῶς
πεπύσμεθα. Καὶ ἅμα με καθίζει ἄγων παρὰ Κριτίᾶν τὸν Καλλαίσχρου.

Παρακαθεζόμενος οὖν ἠσπαζόμην τόν τε Κριτίᾶν καὶ τοὺς ἄλλους, καὶ
διηγούμην αὐτοῖς τὰ ἀπὸ στρατοπέδου, ὅ τι μέ τις ἀνέροιτο· ἠρώτων δὲ d
ἄλλος ἄλλο.

Ἐπειδὴ δὲ τῶν τοιούτων ἅδην εἴχομεν, αὖθις ἐγὼ αὐτοὺς ἀνηρώτων τὰ
τῇδε, περὶ φιλοσοφίᾶς ὅπως [7] ἔχοι τὰ νῦν [8], περί τε τῶν νέων, εἴ τινες ἐν
αὐτοῖς [9] διαφέροντες ἢ σοφίᾳ ἢ κάλλει ἢ ἀμφοτέροις ἐγγεγονότες εἴεν. καὶ ὁ
Κριτίᾶς ἀποβλέψᾶς πρὸς τὴν θύρᾶν, ἰδών τινας νεᾶνίσκους εἰσιόντας καὶ 154
λοιδορουμένους ἀλλήλοις καὶ ἄλλον ὄχλον ὄπισθεν ἑπόμενον, Περὶ μὲν

1. Label of causal ptc. (172.2b). 2. *And lo even* (particularizing); i.e. *and so.* 3. Intensive. 4. Partit. genitives, the first of the whole, the second of the part. 5. From ἡμί; ὅς is dem. 6. Zeugma: at first personal and then impers. 7. Indir. interrog., introducing a clause whose subj. has by prolepsis been made obj. of the main vb. 8. τὰ νῦν (adverb. phrase) = νῦν; cf. τά γε δὴ νῦν below (154a5). 9. The phrase depends on ἐγγεγονότες.

τῶν καλῶν, ἔφη, ὦ Σώκρατες, αὐτίκα μοι δοκεῖς εἶσεσθαι· οὗτοι γὰρ τυγχάνουσιν οἱ εἰσιόντες πρόδρομοί τε καὶ ἐρασταὶ ὄντες τοῦ δοκοῦντος καλλίστου εἶναι τά γε δὴ νῦν, φαίνεται δέ μοι καὶ αὐτὸς ἐγγὺς ἤδη που εἶναι προσιών.

Ἔστιν δέ, ἦν δ' ἐγώ, τίς τε καί τοῦ [1];

b Οἶσθά που σύ γε, ἔφη, ἀλλ' οὔπω ἐν ἡλικίᾳ ἦν πρίν σε ἀπιέναι, Χαρμίδην τὸν τοῦ Γλαύκωνος τοῦ ἡμετέρου θείου ὑόν, ἐμὸν δὲ ἀνεψιόν.

Οἶδα μέντοι νὴ Δία, ἦν δ' ἐγώ· οὐ γάρ τι φαῦλος οὐδὲ τότε ἦν ἔτι παῖς ὤν, νῦν δ' οἶμαί που εὖ μάλα ἂν ἤδη μειράκιον εἴη.

Αὐτίκα, ἔφη, εἴσῃ καὶ ἡλίκος καὶ οἷος [2] γέγονεν. Καὶ ἅμα ταῦτ' αὐτοῦ λέγοντος ὁ Χαρμίδης εἰσέρχεται.

Ἐμοὶ μὲν οὖν, ὦ ἑταῖρε, οὐδὲν σταθμητόν [3]· ἀτεχνῶς γὰρ λευκὴ στάθμη [4] εἰμὶ πρὸς τοὺς καλούς—σχεδὸν γάρ τί μοι πάντες οἱ ἐν τῇ ἡλικίᾳ καλοὶ c φαίνονται—ἀτὰρ οὖν δὴ καὶ τότε ἐκεῖνος ἐμοὶ θαυμαστὸς ἐφάνη τό τε μέγεθος καὶ τὸ κάλλος [5], οἱ δὲ δὴ ἄλλοι πάντες ἐρᾶν ἔμοιγε ἐδόκουν αὐτοῦ—οὕτως ἐκπεπληγμένοι τε καὶ τεθορυβημένοι ἦσαν, ἡνίκ' εἰσῄει—πολλοὶ δὲ δὴ ἄλλοι ἐρασταὶ καὶ ἐν τοῖς ὄπισθεν εἵποντο. καὶ τὸ μὲν ἡμέτερον τὸ τῶν ἀνδρῶν [6] ἧττον θαυμαστὸν ἦν· ἀλλ' ἐγὼ καὶ τοῖς παισὶ προσέσχον τὸν νοῦν, ὡς οὐδεὶς ἄλλοσ' ἔβλεπεν αὐτῶν, οὐδ' [7] ὅστις σμικρότατος ἦν, ἀλλὰ d πάντες ὥσπερ ἄγαλμα ἐθεῶντο αὐτόν. καὶ ὁ Χαιρεφῶν καλέσας με, Τί σοι φαίνεται ὁ νεᾱνίσκος, ἔφη, ὦ Σώκρατες; οὐκ εὐπρόσωπος;

Ὑπερφυῶς, ἦν δ' ἐγώ.

Οὗτος μέντοι, ἔφη, εἰ ἐθέλοι ἀποδῦναι, δόξει σοι ἀπρόσωπος εἶναι [8]· οὕτως τὸ εἶδος παγκαλός ἐστιν.

Συνέφασαν οὖν καὶ οἱ ἄλλοι ταὐτὰ ταῦτα τῷ Χαιρεφῶντι· κἀγώ, Ἡράκλεις, ἔφην, ὡς [9] ἄμαχον λέγετε τὸν ἄνδρα, εἰ ἔτι αὐτῷ ἓν δὴ μόνον τυγχάνει προσὸν σμικρόν τι.

Τί; ἔφη ὁ Κριτίας.

e Εἰ τὴν ψῡχήν, ἦν δ' ἐγώ, τυγχάνει εὖ πεφῡκώς. πρέπει δέ που, ὦ Κριτίᾱ, τοιοῦτον αὐτὸν εἶναι τῆς γε ὑμετέρᾱς ὄντα οἰκίᾱς [10].

Ἀλλ', ἔφη, πάνυ καλὸς καὶ ἀγαθός ἐστιν καὶ ταῦτα [11].

---

1. τοῦ = τίνος πατρός. 2. Relatives in place of the indirect interrogatives ὁπηλίκος and ὁποῖος. 3. *Nothing is measurable to me, i.e. I am no judge.* 4. A line or cord covered with red chalk would leave a clear mark when snapped on white stone; not so one covered with white chalk. 5. Accusatives of specif. 6. A common periphrase for ἡμεῖς or ἄνδρες. So τὰ τῶν ὀμμάτων (156c1), τὸ ταύτης τῆς ἐπῳδῆς (156d3), καὶ τὰ τῆς κεφαλῆς καὶ τὰ τοῦ ἄλλου σώματος 157a2-3). 7. Adv. 8. A sophistic commonplace; cf. Alciphron, frag. 5: "When she has on her clothes her face is wondrous fair, and when she has taken them off her whole body appears as fair as her face." 9. *How* (exclamatory). 10. Circumstantial participial clause expressing cause (172.2b). 11. Acc., referring to τὴν ψῡχήν.

Τί οὖν, ἔφην, οὐκ ἀπεδῦσαμεν αὐτοῦ αὐτὸ τοῦτο [1] καὶ ἐθεᾱσάμεθα πρότερον τοῦ εἴδους; πάντως γάρ που τηλικοῦτος ὢν ἤδη [2] ἐθέλει διαλέγεσθαι.

Καὶ πάνυ γε, ἔφη ὁ Κριτίᾱς, ἐπεί τοι καὶ ἔστιν φιλόσοφός τε καί, ὡς δοκεῖ 15 ἄλλοις τε καὶ ἑαυτῷ, πάνυ ποιητικός.

Τοῦτο μέν, ἦν δ' ἐγώ, ὦ φίλε Κριτίᾱ, πόρρωθεν ὑμῖν τὸ καλὸν ὑπάρχει ἀπὸ τῆς Σόλωνος συγγενείᾱς. ἀλλὰ τί οὐκ ἐπέδειξάς μοι τὸν νεᾱνίᾱν καλέσᾱς δεῦρο; οὐδὲ γὰρ ἄν που εἰ ἔτι ἐτύγχανε νεώτερος ὤν, αἰσχρὸν ἂν ἦν αὐτῷ [3] διαλέγεσθαι ἡμῖν ἐναντίον γε σοῦ, ἐπιτρόπου τε ἅμα καὶ ἀνεψιοῦ ὄντος.

Ἀλλὰ καλῶς, ἔφη, λέγεις, καὶ καλοῦμεν αὐτόν. Καὶ ἅμα πρὸς τὸν ἀκό- b λουθον, Παῖ, ἔφη, κάλει Χαρμίδην, εἰπὼν ὅτι βούλομαι αὐτὸν ἰᾱτρῷ συστῆσαι περὶ τῆς ἀσθενείᾱς ἧς [4] πρώην πρός με ἔλεγεν ὅτι ἀσθενοῖ. Πρὸς οὖν ἐμὲ ὁ Κριτίᾱς, Ἔναγχός τοι ἔφη βαρῦνεσθαί τι τὴν κεφαλὴν ἔωθεν ἀνιστάμενος [5]· ἀλλὰ τί σε κωλῦει προσποιήσασθαι πρὸς αὐτὸν ἐπίστασθαί τι κεφαλῆς φάρμακον;

Οὐδέν, ἦν δ' ἐγώ· μόνον ἐλθέτω.

Ἀλλ' ἥξει, ἔφη.

Ὃ οὖν καὶ ἐγένετο. ἧκε γάρ, καὶ ἐποίησε γέλωτα πολύν· ἕκαστος γὰρ c ἡμῶν τῶν καθημένων συγχωρῶν τὸν πλησίον ἐώθει σπουδῇ, ἵνα παρ' αὐτῷ καθέζοιτο, ἕως τῶν ἐπ' ἐσχάτῳ καθημένων [6] τὸν μὲν ἀνεστήσαμεν, τὸν δὲ πλάγιον [7] κατεβάλομεν. ὁ δ' ἐλθὼν μεταξὺ ἐμοῦ τε καὶ τοῦ Κριτίου ἐκαθέζετο. ἐνταῦθα μέντοι, ὦ φίλε, ἐγὼ ἤδη ἠπόρουν, καί μου ἡ πρόσθεν θρασύτης ἐξεκέκοπτο, ἣν εἶχον ἐγὼ ὡς πάνυ ῥᾳδίως αὐτῷ διαλεξόμενος· ἐπειδὴ δέ, φράσαντος τοῦ Κριτίου ὅτι ἐγὼ εἴην ὁ τὸ φάρμακον ἐπιστάμενος, ἐνέβλεψέν τέ μοι τοῖς ὀφθαλμοῖς ἀμήχανόν τι οἷον [8] καὶ ἀνήγετο ὡς d ἐρωτήσων [9], καὶ οἱ ἐν τῇ παλαίστρᾳ ἅπαντες περιέρρεον ἡμᾶς κύκλῳ κομιδῇ [10], τότε δή, ὦ γεννάδᾱ, εἶδόν τε τὰ ἐντὸς τοῦ ἱματίου [11] καὶ ἐφλεγόμην καὶ οὐκέτ' ἐν ἐμαυτοῦ ἦν [12] καὶ ἐνόμισα σοφώτατον εἶναι τὸν Κῡδίᾱν τὰ ἐρωτικά, ὃς εἶπεν ἐπὶ [13] καλοῦ λέγων παιδός, ἄλλῳ ὑποτιθέμενος, εὐλαβεῖσθαι μὴ κατέναντα λέοντος νεβρὸν ἐλθόντα μοῖραν αἱρεῖσθαι κρεῶν [14]· αὐτὸς e γάρ μοι ἐδόκουν ὑπὸ τοῦ τοιούτου θρέμματος ἑᾱλωκέναι. ὅμως δὲ αὐτοῦ

---

1. *Why do we not bare his very soul?* The use of the aor. for the pres. indicates surprise that the thing has not been done; cf. τί οὐκ ἐπέδειξας (155a4). 2. With ἐθέλει. 3. With αἰσχρόν. 4. Attracted to case of antecedent in spite of fact that it was cognate acc. (with ἀσθενοῖ), not obj. acc. (186). 5. Nom. to agree with subj. of inf. (293). 6. τῶν . . . καθημένων: partit. gen. 7. Pred. adj. 8. Cogn. acc.: *in such an indescribable way* (lit., *something inconceivable of what sort*). 9. Circumstantial ptc. expressing purpose (172.2e). 10. With κύκλῳ. 11. Gen. with adv. of place (322.3). 12. *I was no longer my own master* (supply οἴκῳ). 13. *In the case of, with reference to.* 14. *To be careful, fawn that he was, not to beard the lion and so become a part of the lion's meal.*

ἐρωτήσαντος εἰ ἐπισταίμην τὸ τῆς κεφαλῆς φάρμακον, μόγις πως ἀπεκρινάμην ὅτι ἐπισταίμην.

Τί οὖν, ἦ δ' ὅς, ἐστίν;

Καὶ ἐγὼ εἶπον ὅτι αὐτὸ μὲν εἴη φύλλον τι, ἐπῳδὴ δέ τις ἐπὶ τῷ φαρμάκῳ εἴη, ἣν εἰ μέν τις ἐπᾴδοι ἅμα καὶ χρῷτο αὐτῷ [1], παντάπασιν ὑγιᾶ [2] ποιοῖ τὸ φάρμακον· ἄνευ δὲ τῆς ἐπῳδῆς οὐδὲν ὄφελος εἴη τοῦ φύλλου.

156 Καὶ ὅς [3], 'Απογράψομαι τοίνυν, ἔφη, παρὰ σοῦ [4] τὴν ἐπῳδήν.

Πότερον, ἦν δ' ἐγώ, ἐάν με πείθῃς ἢ κἂν μή;

Γελάσας οὖν, 'Εάν σε πείθω, ἔφη, ὦ Σώκρατες.

Εἶέν, ἦν δ' ἐγώ· καὶ τοὔνομά μου σὺ ἀκριβοῖς;

Εἰ μὴ ἀδικῶ [5] γε, ἔφη· οὐ γάρ τι σοῦ ὀλίγος λόγος ἐστὶν ἐν τοῖς ἡμετέροις ἡλικιώταις, μέμνημαι δὲ ἔγωγε καὶ παῖς ὢν [6] Κριτίᾳ τῷδε συνόντα [7] σε.

b Καλῶς γε σύ, ἦν δ' ἐγώ, ποιῶν [8]· μᾶλλον γάρ σοι παρρησιάσομαι περὶ τῆς ἐπῳδῆς οἵᾳ τυγχάνει οὖσα [9]· ἄρτι δ' ἠπόρουν τίνι τρόπῳ σοι ἐνδειξαίμην τὴν δύναμιν αὐτῆς. ἔστι γάρ, ὦ Χαρμίδη, τοιαύτη οἵᾳ μὴ δύνασθαι τὴν κεφαλὴν μόνον ὑγιᾶ ποιεῖν, ἀλλ' ὥσπερ ἴσως ἤδη καὶ σὺ ἀκήκοας τῶν ἀγαθῶν ἰατρῶν, ἐπειδάν τις αὐτοῖς προσέλθῃ τοὺς ὀφθαλμοὺς ἀλγῶν, λέγουσί [10] που ὅτι οὐχ οἷόν τε [11] αὐτοὺς [12] μόνους ἐπιχειρεῖν τοὺς ὀφθαλμοὺς ἰᾶσθαι, ἀλλ' ἀναγκαῖον

c εἴη ἅμα καὶ τὴν κεφαλὴν θεραπεύειν, εἰ μέλλοι καὶ τὰ τῶν ὀμμάτων εὖ ἔχειν· καὶ οὕ τὸ τὴν κεφαλὴν οἴεσθαι ἄν ποτε θεραπεῦσαι [13] αὐτὴν ἐφ' ἑαυτῆς ἄνευ ὅλου τοῦ σώματος πολλὴν ἄνοιαν εἶναι. ἐκ δὴ τούτου τοῦ λόγου διαίταις [14] ἐπὶ πᾶν τὸ σῶμα τρεπόμενοι μετὰ τοῦ ὅλου τὸ μέρος ἐπιχειροῦσιν θεραπεύειν τε καὶ ἰᾶσθαι· ἢ οὐκ ᾔσθησαι ὅτι ταῦτα [15] οὕτως λέγουσίν τε καὶ ἔχει;

Πάνυ γε, ἔφη.

Οὐκοῦν καλῶς σοι δοκεῖ λέγεσθαι καὶ ἀποδέχῃ τὸν λόγον;

Πάντων μάλιστα, ἔφη.

d Κἀγὼ ἀκούσας αὐτοῦ ἐπαινέσαντος ἀνεθάρρησά τε, καί μοι κατὰ σμικρὸν πάλιν ἡ θρασύτης συνηγείρετο, καὶ ἀνεζωπυρούμην. καὶ εἶπον· Τοιοῦτον [16] τοίνυν ἐστίν, ὦ Χαρμίδη, καὶ τὸ ταύτης τῆς ἐπῳδῆς. ἔμαθον δ' αὐτὴν ἐγὼ ἐκεῖ ἐπὶ στρατιᾶς [17] παρά τινος τῶν Θρᾳκῶν τῶν Ζαλμόξιδος ἰατρῶν, οἱ λέγονται καὶ ἀπαθανατίζειν. ἔλεγεν δὲ ὁ Θρᾷξ οὗτος ὅτι ταῦτα μὲν οἱ

1. i.e. τῷ φαρμάκῳ. 2. Acc. sing. masc. of ὑγιής. 3. Dem. 4. *From your dictation.* 5. *If I am not mistaken.* 6. Circumstantial (172.2). 7. Supplementary in indir. disc. (172.3b); the pres. ptc. represents the impf. ind. συνῆσθα. 8. i.e., *it is kind of you to remember me.* 9. Supplementary not in indir. disc. (172.3a); supply ἡ ἐπῳδή. 10. By anacoluthon for λεγόντων, after which the secondary sequence in εἴη (c1) would have been natural. 11. Supply εἴη. 12. Intensive with μόνους: *by themselves alone.* 13. In dir. disc. this would be potential opt. 14. Dat. of means with θεραπεύειν. 15. Obj. of λέγουσιν and subj. of ἔχει. 16. = τοιοῦτο. 17. *On an expedition*, i. e. *in the army.*

